



Maurocordato Scarlati

(Jean Nicolas)



CELSISS. ATQ. SAPIENTISS. TOTIVS VALLACHIÆ PRINCEPS, D.D. IOANNES NICOLAVS ALEXANDRI MAVROCORDATO DE SCARLATI

J. G. Wolfgang Sc. Reg. sc. Berlin 1721.

ΠΕΡΙ͂ ΚΑΘΗΚΌΝΤΩΝ
ΒΙ͂ΒΛΟΣ

ΣΥΓΓΡΑΦΕΙ͂ΣΑ ΠΑΡᾺ ΤΟΥ͂ ΕΥ̓ΣΕΒΕΣΤΆΤΟΥ, ΥΨΗΛΟΤΆΤΟΥ, ΚΑῚ ΣΟΦΩΤΆΤΟΥ ΑΥ̓ΘΈΝΤΟΥ ΚΑῚ ΗΓΕΜΌΝΟΣ ΠΆΣΗΣ ΟΥΓΓΡΟΒΛΑΧΊΑΣ

ΚΥΡΊΟΥ, ΚΥΡΊΟΥ

ἸΩΆΝΝΟΥ ΝΙΚΟΛΆΟΥ

ἈΛΕΞΆΝΔΡΟΥ ΜΑΥΡΟΚΟΡΔΆΤΟΥ

ΒΟΕΒΌΔΑ.

LIBER DE OFFICIIS

CONSCRIPTUS A PIISSIMO, CELSISSIMO ATQUE SAPIENTISSIMO PRINCIPE AC DUCE TOTIUS UNGRO-VALACHIÆ

DOMINO, DOMINO

JOANNE NICOLAO

ALEXANDRI MAUROCORDATO

VOIVODA.

EDITIONE HAC SECUNDA LATINE CONVERSUS.







LIPSIÆ.

EX OFFICINA THOMÆ FRITSCHII, 1722.



Ἑλλαδικῆς μέγα πᾶν κλέος οὔποτ' ἀπώλετο αἴης
Οὐ φάος εὐεπίης οἴχετο ἑλλαδικῆς.
ΝΙΚΟΛΕΩΣ πάσης Βλαχίας κρείων Δακίης τε,
ΝΙΚΟΛΕΩΣ χρυσέου λείψανον αἰπὺ γένους,
Γράμματα πάντα ἰδὼν Ἑλλήνων χριστιανῶν τε,
Φιλοσόφους ὀρθοῖ ΧΡΙΣΤΟΥ ἐφημοσύνῃ.
Αὖθις ἀπαρτίζων λιγέως μάλα ἔμφροσι χάρταις
Ἀρχαίαν τ' ἀρετὴν, σώφρονά τ' εὐφραδίην.
Χαῖρε ΑΛΕΞΑΝΔΡΕ, στιβαρῇ σύσσημον ἐπάρας
Χειρὶ μέλειν ἀγαθὴν ἐλπίδα Ἑλλανίδι.

Ιωάννης ὁ Ἄλβερτος Φαβρίκιος.



Visitur hac tabula tuus, alma Valachia, Princeps.
Gloria Græcorum. Musis quam fidus amicum!
Oris honos talis. Mentis miracula quanta!
Eloquium varium. Pietas. Sapientia summa.

STEPHANUS BERGLER.

LECTORI BENEVOLO
THOMAS FRITSCH S.

CUm ad me ante annum liber hic CELSISSIMI VALLACHIÆ PRINCIPIS *de Officiis esset perlatus, mirum ille protinus eruditorum studium excitavit, qui ejus copiam sibi fieri avide propemodum postulabant.*

Repetebant alii ex Historia novissimorum temporum ALEXANDRI MAUROCORDATI *memoriam, quem inter Byzantinos Proceres Interpretis præcipui munere, & legationibus Viennæ & Carlovicii in arduo pacis negotio, & eruditione quoque conspicuum meminerant. Alii filium narrabant propria virtute ad principale fastigium evectum, paucis abhinc annis, belli tempore à Cæsaris militibus in Transsylvaniam abreptum, post pacem restitutum, in omni fortuna tam excelsum habere animum, ut hunc ipsum commentarium in captivitate, quasi per otium, composuerit. Cuncti tamen non propter hæc externa potissimum, quod esset curiositatis; sed propter ipsam operis structuram librum hunc esse quærendum, memini, quod affirmarint. Scilicet in argumento gravissimo summam tractandi solertiam, rerum haud vulgare pondus, luculentam ordinis concinnitatem, elegantissimum sermonis ornatum prædicabant. Imo cuncti uno fatebantur ore, non decessisse Musas ex oriente, nec situm ibi literas duxisse, verum hinc potius, quam splendide habitent, apparere.*

His motus autoritatibus, cogitavi statim, quomodo minus impeditum operis hujus usum redderem. Adeoque, ne Bukuresto per longinquum iter & nostris commerciis insolentius ejus exempla accersere cogeremur, hic illud recudi curavi & nunc cum Cl. Stephani Bergleri *Interpretatione latina propono.*

Ad ornatum autem libri plurimum esse accessurum merito credidi, si, quam nactus eram forte, PRINCIPIS *autoris imaginem adjicerem, ut vultus etiam* EJUS *cum gravitate serenus nosceretur, qui mentem in his Commentariis tam pulchre expresserat.*

Denique sponsor sum eruditis, qui me ad hanc curam suscipiendam accenderunt, fore, ut, siquid postea hujusmodi cimeliorum ad me perveniat, cum ipsis illud pariter communicetur.

Lipsiæ, Cal. Febr. 1722.



ΠΡΟΟΙ´ΜΙΟΝ
Ο῞, ΤΕ ΣΚΟΠΟ´Σ ΤΟ῀Υ
ΒΙΒΛΙ´ΟΥ, ΚΑῚ ΤΙ´ΝΕΣ

περὶ Καθηκόντων διέλαβον,

Κεφάλαιον, ά.

Ἐνῆκεν ὁ Θεὸς τῇ τῦ ἀνθρώπυ φύσει τὰ σπέρματα τῆς ἀρετῆς. διὸ ὁ ἐν ἡμῖν λόγος, (ᾧ τῶν ἄλλων ζώων διενηνόχαμεν) ὑπαγορεύει τὰ δέοντα, συνᾴδει τε καὶ τὰ τῦ ἐγγράφυ νόμυ τοῖς ἐγκεκο-
„ λαμμένοις ἀνέκαθεν τῇ φύσει τύποις. λύχνος γάρ φησι τοῖς ποσί μυ Ψαλμ: ριϛ.
„ ὁ νόμος σῦ, καὶ φῶς ταῖς τρίβοις μυ. διὰ δὲ τὴν τῦ προπάτορος ἁμαρτίαν ἀμαυρωθέντας αὐτῦς, ἐλλαμπόμενοι τῇ χάριτι τῦ καινῦ νόμυ, ὀφείλομεν ταῖς ἀπὸ τῆς θείας γραφῆς βαφαῖς καλλύνοντες,

PROOEMIUM SCOPUSQUE LIBRI,
& qui de Officiis ſcripſerint.

Cap. I.

INſita ſunt divinitus naturæ hominis ſeminia virtutis. Itaque ratio in nobis (per quam a ceteris animalibus diſtingvimur iisque præcellimus) dictat quid ſit conveniens quidve fieri oporteat: concinitque lex Scripturaria impreſſis primitus naturæ ſignis. *Lucerna enim inquit pedibus meis verbum tuum, & lumen ſemitis meis.* Sed quia per peccatum primi parentis hæc ſigna obſcurata ſunt, debemus, illuſtrati gratia novæ legis, ea tincturis divinæ Scripturæ Pſal. 118. v. 105.

τοῖς

τοῖς τε ἀπὸ τῆς θύραθεν φιλοσοφίας χρώμασιν ἐπικοσμοῦντες, ὅτι μάλιστα λαμπροὺς ἀπεργάζεσθαι, τοῦ θεοῦ πάντως συναιρομένου τοῖς ὁρμῶσιν εἰς τἀγαθόν. Μεγίστη ὁδὸς, φησὶν ὁ μέγας Βασίλειος, πρὸς „ τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ ἡ μελέτη τῶν θεοπνεύστων γραφῶν. „ ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι „ τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμ- „ ψυχοι τῆς κατὰ Θεὸν πολιτείας, τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων „ πρόκεινται. καὶ αὐτὸς οὗτος ὁ θεῖος ἀνὴρ καὶ τὴν ἀπὸ τῶν ἔξωθεν λόγων ὠφέλειαν ἀμφιλαφῶς συνίστησι.* γῆ τε γὰρ οὐκ ἀρδευομένη, συνέχει μὲν ἐν κόλποις, ὡς εἰπεῖν, τὰ σπέρματα, ἀλλ' ἀνίσχυρός ἐστιν αὐξῆσαι, καὶ εἰς φῶς αὐτὰ προαγαγεῖν. καὶ νοῦς κἂν εὐφυῶς ἔχῃ, τῆς ἔξωθεν μέντοιγε ἀρδείας ἀμοιρήσας, ἢ ὅλως ἐστέρωται πρὸς ἐνέργειαν τῶν καλῶν, ἢ καθ' ἑαυτὸν ὀργῶν, καὶ σφαδάζων, ἀκολασταίνει μὴ παιδαγωγούμενος, μήτε τυπούμενος εἰς κρίσιν, καὶ αἵρεσιν ἀρετῆς. οὐ μόνον γὰρ ἐν λόγοις, ἀλλὰ „ πολλῷ μᾶλλον ἐν πράξεσιν ἡ κρίσις πολλῆς ἐστι πείρας τελευταῖον „ ἐπιγέννημα. „

Γρηγορίῳ: θεολ: περὶ τῆς κατ' ἀρε: ἀγ:

Λογγῖ: περὶ ὕψους. κεφ. ϛ'.

ornando, externæque philosophiæ coloribus condecorando, quamtum fieri potest clara & nitida reddere, Deo utique opitulante tendentibus in bonum. *Via amplissima* inquit Magnus Basilius, *ad invenienda officia est meditatio Scripturarum divinitus inspiratarum. In his enim præterquam quod actionum præcepta inveniuntur, etiam vitæ Sanctorum ac beatorum hominum perscriptæ ac traditæ quasi imagines quædam vivæ & spirantes conversationis vitæque secundum Dei voluntatem instituendæ, imitatione bonorum operum, propositæ sunt.* Idemque iste vir sanctissimus etiam externæ eruditionis ac doctrinæ utilitatem copiosissime commendat. Etenim sicut terra quæ non rigatur, continet quidem & cohibet sinu suo, ut ita dicam, semina, sed ad ea vegetanda & in lucem edenda, invalida est; ita mens, quamvis habilis ac docilis, nisi extrinsecus irrigatione juvetur, aut plane sterilescit ad bonos actus producendos, aut per se turgens ac palpitans, proterve agit, dum non eruditur nec formatur ad deligendam, eligendam, atque amplectendam virtutem. Est autem non tantum in oratione & verbis, sed præcipue in actionibus **Judicium multæ peritiæ ultimus fructus.*

Ad Gregorium Theol. de disciplina secundum virtutem. Epist. I.

*Longin. de Subl.

Διὰ

Διὰ ταῦτ' ἄρα οὐκ ἀμνημονήσας οὐδ' ἐγὼ τοῦ καθήκοντος, καὶ δεδιττόμενος τὴν φοβερὰν τοῦ κυρίου φωνὴν, ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριον „ μου τοῖς τραπεζίταις, μεταδοῦναι προτεθύμημαι τῷ γένει ταυτηνὶ τῆς Ματθ. κεφ. κε. ἀρετῆς τὴν εἰκόνα, ἄμορφον ἴσως νοὸς ἀδρανοῦς γονὴν, κεκοσμημένην ὅμως ἀπό τε λόγων ἐπὶ σοφίᾳ καὶ εὐσεβείᾳ μέγα κλέος ἀραμένων ἀνδρῶν θεσπεσίων, καὶ μάλιστα τῷ ἀπὸ τῶν θεοπνεύστων γραφῶν ἀκηράτῳ κόσμῳ.

Ἔσται τοίνυν περὶ ἀρετῶν, καὶ καθηκόντων ἡμῖν ὁ λόγος. τί γὰρ ἄλλο τὰ καθήκοντα, ἢ ἀρεταὶ ἐμφιλοχωροῦσαι τῷ βίῳ, καὶ εἰς οὐρανὸν διήκουσαι; ὅθεν ἐκσυρίττεται ὁ Ἐπίκουρος, τιθεὶς γὰρ τὴν εὐδαιμονίαν ἐν τῷ ἡδεῖ, τῶν μὲν καθηκόντων ὀλιγωρεῖ, ἐπὶ τούτῳ δὲ μόνον περίησιν ἐν τῷ βίῳ, ὅπως ἡδονῆς ἐμφορῆται, καὶ ἐπὶ μόνῃ τῇ τῶν ἡδονῶν θήρᾳ εἰς τὸ πράττειν χωρεῖ· ἧς οὐχ ὑποφαινομένης, οἰκουρεῖ, οὐδενὸς τῶν δεόντων ἁπτόμενος. εἰ δ' ἐνίοτε ὑποκρίνοιτο φροντίζειν φιλίας, καὶ τῶν ἄλλων καθηκόντων, ἢ ἄκων ὑπὸ τῆς ἱερᾶς φύσεως οὕτω φρονεῖν βιάζεται, ἢ ἐπὶ ἀπάτῃ τοῦ ὁμοφύλου καλλωπιζόμενος, κενοῖς ὀνόμασι τὴν ἀρετὴν δυσωπεῖται. κἀκεῖθεν μέντοιγε ἄκρατος ἡδονὴ, καὶ μηδὲν ἕτερόν ἐστιν αὐτῷ τὸ σπουδαζόμενον.

Igitur ego etiam officii recordatus, ac veritus metuendam Domini vocem, *Oportebat ergo te committere pecuniam numulariis,** tradere volui genti nostræ hancce virtutis imaginem, informem fortasse mentis minus efficacis foeturam; at decoratam dictis ac sententiis virorum præclarorum qui sapientiæ ac pietatis ingentem adepti fuere gloriam, præcipueque ornatu illo puro ac incorrupto quem Scripturæ divinitus inspiratæ suppeditant.

Erit ergo de virtutibus & officiis nobis sermo. Quid enim sunt aliud officia, quam virtutes, vitam quidem hanc incolentes, at in coelum pertingentes? Proinde Epicurus exploditur. Cum enim felicitatem ponat in eo quod jucundum est & suave, officia negligit, ac propterea tantum versatur in hac vita ut voluptate satietur, soliusque voluptatis captandæ gratia ad agendum procedit. quæ si nulla appareat, domi desidet, nullam officii partem attingens. Quod si aliquando præ se fert amicitiæ ceterorumque officiorum curam, aut invitus, a sacra natura ita sentire cogitur, aut ad fucum hominibus faciendum sese ostentans & jactans, vanis nominibus virtutem placare conatur; attamen inde etiam nihil aliud nisi voluptatem affectat.

* Matth. 25, 27.

Οἱ δὲ λόγοι τῶν καθηκόντων ὁποιονοῦν μέρος τοῦ ὑμετέρου βίου περιειληφότες, δαιμονίως αὐτὸν κοσμοῦσιν, ἰδίᾳ τε καὶ κοινῇ, κατά τε οἶκον, καὶ πολιτείαν. ἀλλὰ τὰ μὲν Στωϊκοῖς, καὶ Ἀκαδημαϊκοῖς, καὶ Περιπατητικοῖς περὶ τῶν καθηκόντων πεφιλοπονημένα, ὁ τοῦ χρόνου ῥοῦς κατέκλυσε· συγγέγραπται δὲ περὶ τῶν καθηκόντων τῷ τε Κικέρωνι, καὶ τῷ ἁγίῳ Ἀμβροσίῳ τῇ Λατίνων διαλέκτῳ, ἃ τοῖς μόνην τὴν Ἑλλήνων φωνὴν ἠσκημένοις Γραικοῖς οὐκ εἰσὶ συνετά. προσέτι δὲ τὰ Κικέρωνος πολυτελῆ μέν εἰσι τῷ ὄντι, ἀλλὰ παρακέκοπταί πως * οὐκ ἰσχύσαντα ὁλοσχερῆ ἐς ἡμᾶς διαγενέσθαι. καὶ τοῦτο ὅμως ἐν εὐτυχίας μέρει λογιζέσθω. εἴωθε γὰρ ὁ χρόνος δίκην χειμάῤῥου ῥέων, τὰ μὲν ἁδρὰ, καὶ πολύτιμα καταβυθίζειν, αἴρειν δὲ, καὶ παραπέμπειν εἰς τοὺς μετέπειτα τὰ κοῦφα. Ἔνεστι δὲ κἀκεῖνο τῷ Κικέρωνι, τὸ, ὅλως προσκείμενον τοῖς δόγμασι τῶν Στωϊκῶν, οὐχ ἱκανῶς ἔχειν παιδαγωγῆσαι ψυχὴν Χριστῷ προσηλωμένην, καὶ εἰς ὑψηλοτέραν, ἀλλὰ προσηνεστέραν πολιτείαν χειραγωγουμένην. πλα-
Ψαλ. ριή. τεῖα γὰρ ἡ ἐντολή σου σφόδρα, φησὶν ὁ Δαβίδ. καὶ ὁ Φιλάνθρωπος „
Ματθ. κεφ. ιά. Δεσπότης, ὁ ζυγός μου χρηστός, φησι, καὶ τὸ φορτίον μου ἐλαφρόν. καὶ „
τὸ μὲν διὰ τῆς λεωφόρου τῶν θείων ἐντολῶν βαδίζειν, κατὰ φύσιν ἐστὶ

Officiorum vero doctrina quamlibet vitæ nostræ partem complexa, mirifice eam ornat, privatim ac publice, tam in societate domestica quam civili. Sed ea quidem quæ Stoicorum, Academicorum & Peripateticorum industria de officiis elaborata fuerant, temporis fluxus inundavit. Quæ vero a Cicerone & S. Ambrosio de Officiis Latino sermone conscripta sunt, ea Græcis solam Græcam callentibus lingvam intelligi non possunt. Insuper Ciceroniana pretiosa quidem sunt revera, sed quoddammodo accisa, nec potuere integra ad nos usque perennare. Tamen & hoc in felicitatis parte numerandum. Solet enim tempus fluminis ritu labens, grandia quidem ac pretiosa submergere, levia vero tollere & ad posteritatem transmittere. Sed habet illud etiam Cicero, quod totus Stoicorum placitis adhærens, non est sufficiens ad erudiendam animam Christo adfixam, quæve ad altiorem sed & leniorem vitæ rationem manuducitur. *Latum enim mandatum tuum*,* inquit David. & clemens Dominus noster, *Jugum meum suave est*, inquit, *& onus meum leve*.** Equidem ambulare per viam regiam divinorum mandatorum, est vivere secundum naturam, Creatorem colendo,

* Ps. 118, 96.
** Matth. 11, 30.

βιοῦν,

βιοῦν, τὸν δημιουργὸν σεβόμενον, μηδένα βλάπτοντα, μή τε διασπῶντα τὴν ἐν τῷ βίῳ κοινωνίαν, τῆς τε σωτηρίας, καὶ ἀσφαλείας ἑαυτοῦ φροντίζοντα, καὶ ἅμα τὰ πρὸς τὸ συγγενὲς ϗ ὁμόφυλον καθήκοντα, ἀκεραίῳ ἀγάπῃ πληροῦντα· τῷ δὲ ἀποταξαμένῳ τῷ κόσμῳ, ϗ ἑαυτὸν ἀπαρνησαμένῳ, καὶ ἐν τῷ Θεῷ ζῶντι, μηδὲν ἐςὶ μηδὲν ἐλαφρότερον, λήθην μὲν ἔχοντι γῆς, ϗ τῶν ἐπὶ γῆς, ἐν οὐρανῷ δὲ ἤδη πολιτευομένῳ.

Ὁ δὲ θεῖος Ἀμβρόσιος καίτοι πολιτικοῖς ἀξιώμασιν ἐν Ῥώμῃ κεκοσμημένος, ϗ ὡς ἔθος ἐςὶ τοῖς ἀπὸ δύσεως ἱεροῖς ἀνδράσι μᾶλλόν πως τῶν ἀνατολικῶν Πατέρων (ὧν οἱ πλείους οὐχ ἥψαντο πολιτικῶν πραγμάτων διοικήσεως) ὑποτιθέναι τὰ ϗ ἐν πόλει, ϗ αὐλαῖς φυρομένοις εἰς σωτηρίαν ψυχῆς συνοίσοντα, θείως ἅμα ϗ νουνεχῶς ἀναπτύσσει τὰ ἐπιβάλλοντα, καὶ ἐνίοτε ἐπικαίρῳ οἰκονομίᾳ χρώμενος φαίνεται. ἀλλ᾽ ὁ κύριος αὐτῷ σκοπὸς, τὸν τέλειον ὑποτυπώσασθαι βίον, εἴς τε τὸν ὑπ᾽ αὐτὸν τελοῦντα κλῆρον ἀποτείνων τοὺς λόγους, ἐνίησί πως πτοίαν τοῖς πράγμασιν ἐνειλημμένοις, ϗ μήπω δυναμένοις ἀποτάξασθαι
„ κόσμῳ. ὄρη μὲν γὰρ τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα δὲ καταφυγὴ ψαλ. ργ.
„ τοῖς λαγωοῖς. δεῖ δὴ διατείνεσθαι μὲν εἰς τὸ ἀκρότατον, ἀλλὰ μεταξὺ

neminem lædendo, neque dirimendo vitæ ſocietatem, ſalutisque & ſecuritatis propriæ rationem habendo, atque ſimul officia erga cognatos propinquos ac gentiles ſincera charitate implendo; ei vero qui mundo renunciavit & in Deo vivit, nihil utique eſt facilius; ut qui terræ ac rerum terrenarum oblitus, coeli jam ſit incola & civis.

Divus autem Ambroſius, quamvis civilibus honoribus Romæ ornatus, ſicut mos eſt occidentalis Eccleſiæ ſanctis viris magis quam orientalibus Patribus (quorum plerique non attigerunt rerum civilium adminiſtrationem) ſuggerere etiam civitati ac reip. aulæque admiſtis atque adgregatis ad ſalutem animæ profutura, divinitus ſimul & prudenter explicat ad rem pertinentia, ac interdum opportuna videtur uti diſpenſatione; ſed principalis ei ſcopus eſt propoſitus, perfectam informare vitam, tum etiam ad clerum ſuum dirigens ſermonem, incutit quodammodo pavorem iis qui negotiis involuti ſunt, nec adhuc poſſunt renunciire mundo, *Montes enim excelſi cervis, petra perfugium leporibus.* Nempe oportet contendere ad ſummum, interim tamen meminiſ- Pſ. 103, 18.

ψαλ. θ'. μνημονεύειν καὶ τῆς ἀσθενείας. Γνώτωσαν φησὶν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.
ψαλ. ρβ'. καὶ πάλιν, αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. κορωνὶς μὲν γὰρ ἀρετῆς ὁ τέλειος βίος· ὅπῃ δὲ μηδαμῶς παραβλάπτεται τὰ τοῦ ἀκηράτου νόμου, τοῖς ἐν πολιτείᾳ, ὑπὸ τῆς θείας ἐφεῖται φιλανθρωπίας, ἐν τῇ μετὰ τοῦ ὁμοφύλου κοινωνίᾳ, διὰ τῆς τρίβου τῶν θείων ἐντολῶν ἰοῦσι, μηδὲ τοῦ τῇ παρούσῃ ἰδέᾳ τοῦ βίου προσήκοντος ὀλιγωρεῖν.

Περὶ τοῦ καλοῦ, καὶ ὅρος καθήκοντος, καὶ ποσαχῶς διαιρεῖται. Κεφάλαιον, β'.

Ἡ ἠθικὴ φιλοσοφία περὶ τὴν τοῦ ἀνθρώπου θέλησιν καταγίνεται, ἣν ὁ ὀρθὸς λόγος διακυβερνᾷ, καὶ διϊθύνει, παράγει δὲ, καὶ τῆς εὐθείας παρατρέπει τὸ δοκοῦν, καὶ φαινόμενον ἀγαθόν· οἱονεὶ δὲ κέντρα τῆς θελήσεώς εἰσι τὰ πάθη· ὑπ' ἐκείνων γὰρ διεγειρόμενοι, ὁρμῶμεν εἰς ἐνέργειαν, καὶ ἐπίκτησιν τῶν καλῶν. ὑπηρέται δὲ, καὶ λειτουργοὶ αἱ αἰσθήσεις. καὶ αἱ μὲν γενναῖαι ψυχαὶ, λόγῳ πείθονται· ὁ δὲ πολὺς ὄχλος, βραβείοις, καὶ ποιναῖς ἄγεται, καὶ φέρεται. τῶν δ' ἀγαθῶν, τὰ μέν ἐστι τῆς ψυχῆς, τὰ δὲ τοῦ σώματος, τὰ δὲ τῆς τύχης. καὶ αὖ τῶν

Ps. 9, 21. se & infirmitatis, *Sciant* inquit *gentes quoniam homines sunt.* ac rursum,
Ps. 102, 14. *Ipse cognovit figmentum nostrum, recordatus est quoniam pulvis sumus.* Etenim apex quidem est virtutis, vita perfecta; quandoquidem autem puritas sanctitasq; legis neutiquam labefactatur ab iis qui civilia tractant, a divinas bonitate & clementia permittitur, incedentibus per semitam divinorum mandatorum nec huic vitæ convenientia negligere.

CAP. II.

De Bono & honesto, de Virtute, Definitio Officii & quot modis dividatur.

Moralis philosophia versatur circa voluntatem hominis, quam recta ratio gubernat & dirigit, transversam autem rapit opinabile & apparens bonum: instar calcarium vero voluntati sunt affectus; ab istis enim excitati pergimus ad actum & acquisitionem bonorum: ministri autem & famuli sunt sensus. Ac generosæ quidem mentes rationi parent & obediunt, vulgus autem præmiis ac poenis huc illud impellitur. Sunt autem bona alia animi, alia corporis, alia fortunæ. Ac rursus

ψυχῶν

ψυχῶν αἱ μὲν περὶ θεωρίαν, αἱ δὲ περὶ πράξεις· ὧν ἡ πρὸς ἀλλήλας σύγκρισις, ἥ τε εἰς ἀρετὴν ῥοπὴ, τό, τε ἀντίτυπον τῶν παθῶν, καὶ εἰς κακίαν ἐπίφορον, καὶ ἡ ἀναθεώρησις τῆς νεανικῆς, καὶ ἡρωϊκῆς ἀρετῆς τῆς μηδαμῶς ταραττομένης, ἀλλ' ἐν τῇ καθ' ἕξιν ἐπιτυχίᾳ, καὶ κλήσει τοῦ καλοῦ σοβούσης, ἥ τε μεταξὺ τοῦ ἐλάττονος, καὶ μείζονος καλοῦ, καὶ τοῦ μᾶλλον, καὶ ἧττον ἐπωφελοῦς, καὶ πάλιν ἡ μεταξὺ τοῦ καλοῦ, καὶ ἐπωφελοῦς κοινωνία, καὶ μάχη, καὶ σύγκρουσις, καὶ ἡ περὶ τούτων ἀσφαλὴς κρίσις, καὶ αἵρεσις, ἥ τε τῶν ἀρετῶν πρὸς ἀλλήλας σύγκρισις, καὶ χρῆσις, ἡ ὀρθῷ λογισμῷ ζυγοστατουμένη, καὶ ἐπικαίρως ἔν τε λόγοις, καὶ πράξεσι διαλάμπουσα, πηγαί εἰσι τῶν καθηκόντων.

Ἵνα δὲ καθ' εἱρμὸν ἡμῖν ὁ λόγος χωροίη, τὸν ὅρον τοῦ καθήκοντος ἀποδοτέον, καὶ καθεξῆς χωρητέον ἐπὶ τὴν κατὰ μέρος πλατυτέραν ἀνάπτυξιν. καὶ οἱ μὲν Στωϊκοὶ κραδαινόμενοι περὶ τὴν τῶν πραγμάτων κρίσιν, καὶ ἀγαπῶντες τῇ πιθανότητι τῶν λόγων, ἅτε ὑπὸ τῶν μαρμαρυγῶν τῆς πίστεως οὐκ ἐλλαμπόμενοι, καθῆκον ἔλεγον εἶναι, ὃ πραχθὲν εὔλογον ἴσχει ἀπολογισμόν. καὶ κοινότερον μὲν περὶ πάντων τῶν καθηκόντων διαλεγομένοις, τὸ ὁπωσοῦν εὔλογον, καὶ πιθανὸν, ἱκανὸν

animæ quædam contemplationibus, quædam actionibus gaudent. Harum rerum inter se commissio ac comparatio, virtutis præponderatio: sensuum renitentia & ad malitiam proclivitas, rursum virtutis contemplatio, generosæ illius ac heroicæ, haud quaquam trepidantis, verum in habituali adquisitione ac possessione veri boni alacriter progredientis: majoris minorisve boni, magis minusve utilis, item honesti ac utilis, inter se communio ac conflictatio: horumque omnium cauta dijudicatio atque selectio, nec non virtutum inter se commissio & comparatio, atque usus recta ratione ponderatus, opportuneque in verbis & factis elucens, fontes sunt officiorum.

Ut autem ordine sermo nobis procedat, tradenda est definitio officii, ac deinde pergendum per partes ad latiorem explicationem. Ac Stoici quidem vacillantes in disceptatione rerum, contenti probabilitate verborum, quippe splendore fidei haud illustrati, καθῆκον & officium esse dicebant, quod cur factum sit ratio probabilis reddi possit. Atque communius quidem de omnibus officiis disputantes, id quod utcum-

αὐτοῖς,

ἀυτοῖς ἐδόκει εἰς αἵρεσιν τῶν πρακτέων· περὶ δὲ τῶν ὡς εἰπεῖν στοιχείων τοῦ καθήκοντος, ἅπερ ἀπ' ἀυτῆς τῆς πρωτογόνου ἀναβλαστάνει φύσεως, καὶ ἐν ὁτωοῦν ἔθνει κεκύρωται τιμώμενα, ἀσφαλέστερόν πως διειληφότες, καθήκοντα ἔφασαν εἶναι, ὅσα λόγος αἱρεῖ, καὶ πρέπει ποιεῖν, οἷον, γονεῖς τιμᾶν, ἀδελφῶν φροντίζειν, ὑπὲρ πατρίδος κινδυνεύειν, φίλοις συμπεριφέρεσθαι· παρὰ τὸ καθῆκον δὲ, τὰ παρὰ ταῦτα· ἀδιάφορα δὲ, οὔτε καθήκοντα, δηλαδὴ, οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔτε αἱρεῖ λόγος πράττειν, οὔτε ἀπαγορεύει, οἷον, καρφῶν τινων διακρατήσεις, καὶ περιστροφὰς, καὶ τριχῶν ἐπαφάς τε, καὶ ἐκτάσεις, καὶ ὅσα τούτοις ὁμοίως γίγνεται. καὶ ταῦτα ὅμως εἰδοποιεῖται, καλοῦ ἢ κακοῦ ὄνομα κληρούμενα, ὑπὸ τῆς συνειδήσεως κατὰ τὴν περὶ τὰ ἤθη θεολογίαν. οὐδὲν γὰρ πάρεργον, οὐδὲ μάταιον ἐκτιτρώσκουσιν οἱ ὀπαδοὶ τοῦ Χριστοῦ.

Ἐισὶ δὲ κατὰ τοὺς Στωϊκοὺς ἄττα τῶν καθηκόντων ἄνευ περιστάσεως, ὡς ἁγνείας, καὶ αἰσθητηρίων ἐπιμελεῖσθαι, καὶ τὰ τοιαῦτα· τὰ δὲ κατὰ περίστασιν, ὡς τὸ, πηροῦν ἑαυτὸν, καὶ τὴν κτῆσιν διαῤῥιπτεῖν, καὶ ὁπόσα οὐ καθ' ἑαυτὰ, ἀλλ' ὑπὲρ ἄλλου του ἰσχυροτέρου καθήκοντος,

que probabile ac ſpecioſum videretur, ſufficiens eſſe ad actiones capeſſendas putabant; ſed de elementis, ut ita dicam, ac principiis officiorum, quæ à primitiva pullulant natura, & cuilibet genti rata & ſancta habentur, certius diſceptantes, officia eſſe dixerunt, quæ ratio ſuadeat, quæve deceat facere, ut, parentes honorare, fratrum curam ſuſcipere, pro patria periclitari, amicis condeſcendere & ſeſe accommodare: præter officium autem, ab his aliena: indifferentia, quæ nec officia ſcilicet ſint, nec præter officium, quæcunque ratio nec ſuadeat nec interdicat, ut feſtucas aliquas manibus tenere ac circumcumverſare, capillos contrectare ac mulcendo producere, quæve alia ſimiliter fiunt. Quæ tamen itidem certam ſpeciem ſuſcipiunt, boni vel mali nomen ſortita, conſcientia dictante, ſecundum theologiam moralem. Nihil enim perfunctorium nec ſupervacaneum aut abortivum producunt Chriſti asſeclæ.

Sunt etiam ſecundum Stoicos quædam καθήκοντα, quæ fiunt ſine coactione, ut caſtitatis aut ſenſuum curam agere, aliaque hujus generis: quædam ex coactione, ut ſeipſum mutilare, bona ſua projicere *in tempeſtatibus*, & alia quæ non ultro ſed

πράττονται.

„ πράττεται. Καὶ ὁ Ἐπίκτητος, τῶν πραττομένων τὰ μὲν προηγουμένως „ πράττονται, τὰ δὲ κατὰ περίστασιν, τὰ δὲ κατ' οἰκονομίαν, τὰ δὲ κατὰ „ συμπεριφορὰν, τὰ δὲ κατ' ἔνστασιν. Ἡμῖν δὲ καθῆκόν ἐστιν, ἐνέργεια ἀνθρωπίνη κατὰ λόγον, πρός τε τὸ θεῖον, καὶ πρὸς ἑαυτὸν, καὶ πρὸς τὸ ὁμόφυλον ἀναφερομένη, συνᾴδουσα τῷ θείῳ νόμῳ, καὶ πρέπουσα τῇ καταστάσει τοῦ πράττοντος. τριπλῆ γὰρ ἑκάστῳ ὄρεξις ἐνέσπαρται. καὶ ἡ μὲν διατείνεται περὶ τὴν τοῦ ἀτόμου φυλακὴν, ἡ δὲ περὶ τὴν ἐπίκτησιν τοῦ τελείου, ἡ δὲ εἰς πολλαπλασιασμὸν καὶ κοινωνίαν ἐκκέχυται. τῇ δὲ ἀξίᾳ ὑπερανέστηκε τὸ τέλειον, ὃ τῇ κατὰ φύσιν προόδῳ δεύτερον εἶναι δοκεῖ. ζῶν γὰρ, καὶ ὑγιὴς ἕκαστος αἰνέσει τὸν θεόν.

Πρῶτον ἄρα καὶ κύριον ἔργον ἀνθρώπου, τὸ ἀγαπᾶν, καὶ ὑμνεῖν τὸν θεὸν, ὅγε οὐδὲ τοὺς πάλαι σοφοὺς ἐλελήθει. διαιροῦντες γὰρ εἰς τέλειον καὶ μέσον τὸ καθῆκον, τὸ μὲν τέλειον, τὸ περὶ τὸ ὄντως καλὸν ἀσχολούμενον, ἔλεγον κατόρθωμα· τὸ δὲ μέσον καθῆκον, ἅτε τοῖς ὑποδεεστέροις τοῖς εἰλουμένοις περὶ τὸν ἐπίκηρον κόσμον, προσῆκον. τοῖς δὲ Χριστιανοῖς τοῖς ἀραρότως πεπιστευκόσι, καὶ νοΐ τε, καὶ γλώσσῃ ὁμολο-

necessitate urgente fiunt. Epictetus etiam *quædam* inquit *aguntur primario ac directe*, *quædam coactione*, *quædam dispensatione*, *quædam condescendentia*, *quædam contentione ac studio*. Nobis vero officium est actio hominis secundum rectam rationem, relata ad Deum, ad ipsummet, & ad proximum, consona legi divinæ, atque conveniens statui atque conditioni agentis. Triplex enim cuique insita est appetitio, atque alia tendit ad individui conservationem, alia ad perfecti adquisitionem, alia vero in multitudinem & societatem diffunditur. Dignitate autem præstat perfectum illud, quod tamen processu naturali videtur esse secundum. Vivus enim & sanus atque incolumis quisque laudabit Deum.

Primum igitur & principale est hominis opus amare & laudare Deum. Id quod nec veteres latuit Philosophos: dividentes enim officium in perfectum & medium: perfectum, quod circa numen æternum est occupatum, vocabant κατόρθωμα sive rectum factum, medium vero vocabant καθῆκον, utpote inferioribus mundoque fragili ac perituro conveniens. At Christianis firmiter credentibus, menteque & lingua

γȣσι παρὰ θεȣ̃ χορηγεῖσθαι πᾶν ἀγαθὸν, ἀπλέτȣς τε καμάτȣς, καὶ ποταμȣ̀ς ἱδρώτων ἐν ȣ̓δενὶ λογιζομένοις, ἀλλ᾽ ἐπὶ τῇ κρηπῖδι τῆς ἀσφαλȣ̃ς ταπεινώσεως ἐποικοδομȣμένοις τὴν ἀρετὴν, ἀλαζονείας εἶναι δοκεῖ μεςὸν τὸ ὄνομα τȣ̃ κατορθώματος, καὶ θεȣ̃ δῶρον ὁμολογȣ̃σιν εἶναι

Παῦλ. Ῥωμ. κεφ. ιά. πᾶσαν ἀρετήν. ὅτι ἐξ αὐτȣ̃, καὶ δι᾽ αὐτȣ̃, καὶ εἰς αὐτὸν τὰ πάντα. „

Ὅτι ἓν καὶ μόνον τέλος πρόκειται ἀνθρώποις, ὁ εἷς, καὶ μόνος θεός.
Κεφάλαιον γ΄.

Τὸ τέλος, τὸ ἀκρότατον τῶν ἐφετῶν, ὁ εἷς, καὶ μόνος ἐςὶ θεὸς, δι᾽ ὃν ἔν τε τῷ παρόντι βίῳ ἐπικήρῳ, καὶ ἐν τῷ μετ᾽ αὐτὸν τῷ αἰωνίῳ καὶ ἀκηράτῳ κινȣ́μεθα, νοȣ̃μεν, ἠρεμȣ̃μεν, πράττομεν, σχολάζομεν, γρηγορȣ̃μεν, καθεύδομεν, εὐποιȣ̃μεν, κολάζομεν, ὑπὸ φόβȣ τρέμομεν, ὑπ᾽ ἀγάπης φλεγόμεθα, ζῶμεν, θνήσκομεν, ἀναβιȣ̃μεν. ȣ̓δεὶς

Παῦλ. Ῥωμ. κεφ. ιδ΄. γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ ȣ̓δεὶς ἑαυτῷ ἀποθνήσκει. ἐάν τε γὰρ ζῶμεν, „ τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκομεν. ἐάν- „ τε ȣ̃ν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τȣ̃ κυρίȣ ἐσμέν. διὰ ταῦτα τοίνυν „

confitentibus a Deo provenire omne bonum, labores maximos ac sudoris torrentes pro nihilo reputantibus, atque fundamento certæ ac securæ humilitatis superstruentibus virtutem, plenum arrogantiæ & vanitatis videtur nomen recti facti, & confitentur Dei donum esse omnem virtutem,* *Quoniam ex ipso & per ipsum & in ipso sunt omnia.*

*Rom. 11, 36.

CAP. III.

Unicum finem hominibus propositum, esse unum solumque Deum.

Finis ultimus expetendorum unus solusque est Deus, per quem in hac fluxa & caduca vita, manente nos post hanc æterna & incorruptibili, movemur, cogitamus, quiescimus, agimus, cessamus, vigilamus, dormimus, benefacimus, punimus, timore tremiscimus, amore ejus ardescimus, vivimus, morimur, reviviscimus. **Nemo enim nostrum sibi vivit & nemo sibi moritur. Sive enim vivimus, Domino vivimus: sive morimur, Domino morimur. Sive ergo vivimus, sive morimur, Domini sumus.*

*Rom. 14, 7. 8.

ὁ θεῖος

ὁ θεῖος νόμος ἐπιτάττει τὸ ἀγαπᾷν κύριον τὸν θεὸν ἡμῶν, τὸν ἕνα, καὶ μόνον θεὸν, τὸν ὕψιστον, τὸν φοβερὸν, τὸν ἰσχυρὸν, τὸν δίκαιον, τὸν ἐλεήμονα, τὸν ἐν τῇ δρακὶ συνέχοντα τὰ πάντα. ὀφείλομεν δ' ἀγαπᾷν αὐτὸν οὐχ ὑφειμένῃ τινὶ ἀγάπῃ, ἀλλ' ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος ἡμῶν. ὅλην τὴν καρδίαν ζητεῖ ὁ θεὸς, ὁλόκληρον τὴν ψυχὴν, οὐκ ἐξ ἡμισείας, ἅπασαν τὴν ἰσχὺν ἐθέλει διατείνεσθαι εἰς ἀγάπην, εἰς δόξαν, εἰς αἶνον αὐτοῦ. καὶ πρῶτον ζητεῖ τὴν καρδίαν, ἐν τῇ καρδίᾳ γὰρ καταβέβληται τὰ σπέρματα τῆς εἰς θεὸν ἀγάπης, καὶ ἀπ' αὐτῆς πηγάζει ἥγε ἐφικτὴ τοῦ θεοῦ γνῶσις. εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. καὶ πάλιν, προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ θεός. ὁπόσοι δὲ ἀπὸ τοῦ νοὸς ἀρχόμενοι ψευδαῖς ἐπινοίαις ἀναβῆναι διισχυρίζονται εἰς κατανόησιν τῆς ἀνωτάτω οὐσίας, σχετλίως πίπτουσιν εἰς βάραθρον ἀπονοίας Ἰκάρου δίκην. καρδίαν δὲ καθαρὰν κτίσον, φησὶν, ἐν ἐμοὶ ὁ θεός. καὶ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται, ἔφη ὁ κύριος ἡμῶν. καθαροί εἰσι τῇ καρδίᾳ οἱ πάντα κακίας ῥύπον

ψαλ. πε. ια.
ψαλ. ν.
Ματθ. κεφ. ε.

Propterea igitur divina lege mandatur ut diligamus Dominum Deum noſtrum, unum ſolumque Deum, altiſſimum, tremendum, fortem, juſtum, miſericordem, pugillo continentem univerſa. Debemus autem diligere ipſum, non remiſſa quadam & laxa dilectione, verum toto corde, toto animo, & omnibus viribus noſtris. Totum enim cor quærit Ceus, integram animam, non dimidiam, omnes vires vult intendi ad dilectionem, glorificationem & laudem ſuam. Ac primo cor quærit, in corde enim jacta ſunt ſemina amoris erga Deum, atque hinc manat ea quæ in nos cadere poteſt Dei cognitio. *Lætetur cor meum ut timeat nomen tuum*, item, *Accedet homo ad cor altum & exaltabitur Deus.* Quicunque autem a mente & intellectu incipientes vanis commentis & cogitatis adſcenſuros ſe autumant ad ſupremæ eſſentiæ contemplationem, miſerabiliter labuntur in voraginem temeritatis ac dementiæ inſtar Icari. *Cor mundum, inquit, crea in me Deus.* &, *Beati mundo corde: quoniam ipſi Deum videbunt*, inquit Dominus noſter. Mundo autem ſunt corde, qui ablutis omnibus malitiæ ſordibus conſtantem virtutem inde-

Pſ. 85, 11.
Pſ. 63, 8.
Pſ. 50, 12.
Matth. 5, 8.

 ἀπονιψά-

ἀπονιψάμενοι, καὶ βεβαίαν ἀρετὴν ἀτρύτως ἀσκοῦντες. καθαροὶ τῇ καρδίᾳ, οἱ τὰ εἴδωλα τῶν κακιῶν ἔξω τοῦ ἱεροῦ τῆς καρδίας ἐκβαλόντες ναοῦ. ἐνίδρυται γὰρ ἐν τῇ καρδίᾳ εἴδωλα φιλοχρηματίας, κενοδοξίας, ἔρωτος, καὶ ἄλλα μυρία, οἷς ὁ δύστηνος ἄνθρωπος οὐ μόνον βοῦν, ἢ κριὸν, ἀλλ' ἑαυτὸν ὁσημέραι κατασφράττων, βαβαὶ, θυσίαν προσφέρει. διὸ

ψαλ. ιη. ἐκ τῶν κρυφίων μου καθάρισόν με, ὁ προφήτης φησί. καὶ ὁ Σολομὼν, „
ἀσμ. κεφ. β. πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας. ἡ γὰρ τῶν „
σοφ. Σολ. κεφ. ιδ. ἀνωνύμων εἰδώλων θρησκεία παντὸς ἀρχὴ κακοῦ, καὶ αἰτία, καὶ πέρας „
ἐστιν. ἀνώνυμα γὰρ, καὶ πολυώνυμα πάθη ἐμφωλεύει τῇ δυστήνῳ

Μακαρ. περὶ ἐλευθ. νοός. ψυχῇ. καὶ κέκρυπται ἐν ἀδύτοις καρδίας ἀπόῤῥητα κακίας πάθη, „
καὶ ἔσω δεσμοὶ, καὶ φραγμοὶ, κινδύνου μεστὰ τραύματα, ἃ ὑγιαίνειν „
οἰόμενοι, περιθάλπομεν, μόνοις δὲ τοῖς ἐξ οὐρανοῦ ὅπλοις καταπα- „
λαίσομεν.

Ἐνίδρυται δὲ καὶ ἕτερα εἴδωλα γηΐναις βαφαῖς ἀποτόμως ζωγραφοῦντα τὴν ἀπερίγραπτον, καὶ ἀκατανόητον οὐσίαν. μακάριοι ἄρα οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ πᾶσαν ὑλικὴν ἐπίνοιαν, καὶ πᾶν εἴδωλον θεοῦ τῆς καρδίας ἐξαιροῦντες, καὶ ἐν τῷ θείῳ γνόφῳ

fessi percolunt. Mundo etiam sunt corde, qui simulacra vitiorum è cordis templo ejecere. Collocata autem sunt in corde simulacra avaritiæ, ambitionis, libidinis, aliaque plurima, quibus miseri homines non bovem aut arietem, verum seipsos quotidie mactant & sacrificant. Quapropter *ab occultis meis munda me*, inquit Propheta, & Salomon, *Capite nobis vulpes parvas quæ demoliuntur vineas. Infandorum enim idolorum cultura omnis mali causa est, & initium & finis.* Infanda enim & varias habentia appellationes vitia incolunt miseram animam, **Et occultantur in penetralibus cordis, arcani malitiæ morbi, insuntque nodi, vepres, & periculosa vulnera, quæ valere existimantes, fovemus, & tamen non nisi cœlestibus armis expugnabimus.*

Insunt & alia idola, terrestribus coloribus temere exprimentia incomprehensibilem illam & incircumscriptam Essentiam. Beati igitur mundo corde, qui omnem conceptum materialem, & omne idolum simula-

*Macar.

Ps. 18, 13.

Cant. 2, 15.

Sap. 14, 27.

τῆς

τῷ καθαρωτάτῳ, καὶ διαυγεςάτῳ συςελλόμενοι, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Ἀγαπήσεις τοίνυν τὸν θεὸν ἐξ ὅλης καρδίας σου, εἰ μόνον αὐτὸν ἀγαπήσεις, καὶ πᾶν ὁτιοῦν ἄλλο, ἀλλὰ δὴ καὶ σεαυτὸν δι' αὐτόν. ἀγαπήσεις αὐτὸν καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, εἰ μὴ μόνον τὸ σῶμα ὑπωπιάζων, τὴν πρακτικὴν ἀσκοίης ἀρετὴν, ἀλλὰ καὶ ταῖς ὑψηλοτέραις θεωρίαις ἐπιδιδοίης σεαυτὸν, ἤδη τῆς καρδίας ἀσφαλῶς ἐχούσης, καὶ ὑπὸ τῆς θείας ἀγάπης μεθυούσης μέθην νηφάλιον· καὶ οὐ μόνον ἀπὸ καλλονῆς κτισμάτων εἰς ὕμνον ἀνεγειρόμενος τοῦ κτίσαντος, ἀλλ' ὑπὲρ πᾶσαν ἔνυλον κτῆσιν κούφοις θεωρίας πτεροῖς ἱπτάμενος, καὶ συνδιαιτώμενος ἀγγέλοις, καὶ τῷ θρόνῳ τῆς ὑπερουσίου τριάδος παριςάμενος, καὶ ὅλως εἰς ὕμνους, καὶ ἀνέκφραςον θεωρίαν ἐκχεόμενος, καὶ ἅμα τῇ Μαρίᾳ μακαριζόμενος ἐπὶ τῇ ἐκλογῇ τῆς ἀγαθῆς μερίδος. οὕτω δὴ διὰ τῶν ἐναρέτων πράξεων ἐς τοὺς ἀνωτάτω τῆς θεωρίας καὶ ἀπολαύσεως βαθμοὺς Χριςοῦ χειραγωγοῦντος ὅσον ἐφικτὸν ἐν τῷ παρόντι βίῳ ἀναβιβασθεὶς, οὐ κατὰ τοὺς ἡσυχαςὰς, οἱ ἀπλέτῳ ἀνοσιότητι καὶ ἀναιδείᾳ,

crumque Dei ex corde removent, atque divino nimbo, purissimo illo & lucidissimo, sese involvunt, quia ipsi Deum videbunt.

Diliges igitur Deum ex toto corde tuo, si eum dilexeris solum, cetera, atque adeo teipsum, propter eum. Diliges eum ex tota anima tua, si non solum corpus castigando actualem exerceas virtutem, verum etiam sublimioribus contemplationibus teipsum dedas, corde jam satis munito, & dilectione divina sobrie ebrio: si non solum pulchritudine creaturam exciteris ad celebrandas laudes Creatoris, sed omnem creaturam materialem levibus contemplationis alis supervolans, cum Angelis jam degens, thronoque supersubstantialis Trinitatis assistens, totus in glorificationem & ineffabilem contemplationem effunderis, beatus cum Maria ob electionem optimæ partis. Sic itaque per virtutis exercitia in supremos contemplationis, unionis, ac fruitionis gradus, Christo manuducente, quantum pote in hac vita, evectus, non ut isti Quiescentes ac otiosi, qui immani scelere ac improbitate pol-

τολμῶσιν ἀπατᾶν οἱ παλαμναῖοι θεόν τε, καὶ ἑαυτοὺς, καὶ τὸν πλησίον· ἀλλὰ τοῖς μὲν ἔμπροσθεν ἐπεκτεινόμενος, τῆς δ' ἀσθενείας μὴ ἐπιλανθανόμενος, ἐς ὁποιονοῦν μελέτης, καὶ θεωρίας ἀφίκοιο βαθμὸν, ἀτρύτῳ πόνῳ πᾶσαν ἀσκήσεις ἀρετὴν, καὶ ὅλῃ καρδίᾳ, ὅλῃ ψυχῇ, καὶ πάσῃ ἰσχύϊ σαρκικῇ τε, καὶ πνευματικῇ, ὡς ὁ θεσπέσιός φησιν Ἰγνάτιος. ἀγαπήσεις τὸν ὕψιστον θεὸν, τὸ ἀκρότατον τῶν ἐφετῶν, καὶ διὰ παντὸς δουλεύσεις αὐτῷ.

Περὶ θεοσεβείας.
Κεφάλ. δ'.

Δευτερ. κεφ. ς'. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ζέοντι τῷ πνεύματι ἕκαστος ὀφείλει σέβεσθαι τὸν θεὸν μετὰ φόβου καὶ τρόμου, τὸ ὕψος τῆς αὐτοῦ μεγαλειότητος, καὶ τὰς εὐεργεσίας ἀναλογιζόμενος, ἃς παρὰ τῆς ἀνεξαντλήτου φιλανθρωπίας παρειλήφαμεν, καὶ τὰ ἀγαθὰ, ὧν συνεχῶς ἀπολαύομεν. ὀφείλομεν δὲ λατρεύειν θεῷ, νοΐ τε, καὶ στόματι, πιστεύοντες, καὶ κηρύττοντες, καὶ αἰνοῦντες αὐτὸν ἕνα

luti, audent miseri, fallere Deum, seipsos, & proximum; sed antecedentibus exæquare te nitens, non immemor tamen imbecillitatis, in quemcumque exercitationis ac contemplationis perveneris gradum, indefesso labore omnem coles & operaberis virtutem, atque ex toto corde, tota anima, & omnibus viribus tam corporalibus quam spiritualibus, ut Divus ait Ignatius, diliges supremum Numen, summmum illud expetendorum, semperque ei servies.

CAP. IV.
De cultu Divino.

Devt. 6, 13. *Dominum Deum tuum timebis, & illi soli servies.* Ferventi spiritu quisque debet colere Deum cum timore & tremore, altitudinem majestatis ejus & beneficia reputando, quæ ab inexhausta clementia percipimus, bonaque illa quibus perpetuo fruimur. Debemus autem servire Deo, mente & ore, credendo, & prædicando, & laudando eum, Deum

θεὸν

θεὸν τρισυπόστατον, πατέρα, υἱὸν, καὶ πνεῦμα ἅγιον, καὶ ὁμολογοῦντες ἰδίᾳ τε καὶ κοινῇ τὰ ἀραρότα τῆς καθολικῆς ἐκκλησίας δόγματα· ἔν τε τοῖς ἄρθροις τῆς ἀμωμήτου, καὶ ὀρθοδόξου πίστεως, καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς παραδόσεσι, πᾶσαν καινοτομίαν φεύγοντες· ὁπόσα δὲ ταῖς ἱεραῖς γραφαῖς, ταῖς τε οἰκουμενικαῖς συνόδοις κατησφάλισται, ὡς πολυτελέστατον κλῆρον ἀπαραχαράκτως τηροῦντες, καὶ τοῖς ἴχνεσι τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἑπόμενοι.

Λατρεύσομεν δὲ θεῷ, οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ ἐν τοῖς ἱεροῖς,
„ εἰ δυνατὸν, καθ' ἑκάστην ἡμέραν. ὁ δὲ Δαβὶδ οὐ μόνον ἑπτάκις τῆς ἡμέ- ψαλ. ριθ.
„ ρας ᾔνεσά σε· ἀλλὰ καὶ εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ φησι. ρλ. ριε.
„ καὶ τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ, ἐν αὐ-
„ λαῖς οἴκου Κυρίου. λατρεύσομεν Θεῷ, προσηλοῦντες ὅλως εἰς αὐτὸν νοῦν τε, καὶ ὀφθαλμοὺς, ῥίπτοντες ἑαυτοὺς τῷ ἐδάφει, καὶ μετ' ἀπλέτου εὐσεβείας, καὶ ταπεινώσεως τῶν ὁσημέραι εὐεργεσιῶν χάριτας ὁμολογοῦντες, τὰ ἰδίᾳ τε, καὶ κοινῇ συμφέροντα τοῖς τε ἀπὸ χειλέων ὕμνοις, καὶ τοῖς ἀπ' ὀμμάτων δάκρυσιν αἰτούμενοι. καὶ ἐν τοῖς ταμείοις δὲ τῆς ψυχῆς

trinunum, Patrem, Filium, & Spiritum Sanctum, confitendo etiam privatim ac publice, stabilita ac rata Ecclesiæ universalis dogmata, cum in Articulis intaminatæ ac Orthodoxæ Fidei, tum etiam in Ecclesiasticis Traditionibus. omnem fugientes novationem; quæcumque autem sacris Scripturis, Oecumenicisque ac universalibus Synodis ac conciciliis consignata sunt, tanquam pretiosissimam hæreditatem, sine adulteratione servando, vestigiis sanctorum ac divinitus instinctorum Patrum insistendo.

Serviemus autem Deo non privatim tantum sed & publice in sacris templis, si pote, quotidie. David vero non modo *Septies in die* Ps. 118, 164.
laudem dixi tibi, sed & *Benedicam Domino omni tempore* inquit, item,
Vota mea Domino reddam coram omni Ps. 115, 18.
populo ejus in atriis domus Domini. Serviemus Deo, figentes unice in ipso mentem oculosque, humi nos prosternentes, summa cum pietate & extrema humiliatione pro quotidianis beneficiis gratias agentes, privatim ac publice profutura hymnis labiorum precibusque, & lacrymis oculorum expetentes, atque in penetralibus animæ claudentes

κλείσαντες

*κλείσαντες τὰς τῶν αἰσθήσεων θύρας, ἀνατενοῦμεν χεῖρας καὶ νοῦν εἰς
τὸ ὕψος αὐτοῦ, ἐκκαιόμενοι θείῳ ἔρωτι, καὶ σώφρονί τινι μανίᾳ μονον-
οὐχὶ ἐνθουσιῶντες, ἀλλὰ μετὰ σεμνότητος, μετὰ ταπεινώσεως, καὶ
διακρίσεως, μετὰ σταθηρότητος, καὶ ζήλου, ἄνευ ἀκηδείας, καὶ
Ἐξοδ. κεφ. ιδ. βαττολογίας προσευξόμηθα. εἶπε γὰρ Κύριος πρὸς Μωϋσῆν (μὴ „
στόματι φθεγγόμενον, ἀλλὰ νοῒ προσευχόμενον) τί βοᾷς πρός με; „
τοσαύτην ἰσχὺν ἔχει ἡ κατὰ νοῦν προσευχή. εἰς ἣν αἰνιττόμενος ὁ μέγας
Βασιλ. ά. κεφ. ά. Βασίλειος, ἔχε, φησὶ, κρυπτὰς προσευχάς. καὶ ἡ Ἄννα μήτηρ Σαμουὴλ „
ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ ἔλεγον αὐτῇ ἕως πότε μεθυσθήσῃ; ἡ „
δὲ ἀπεκρίνατο, ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου. „*

*Οὐ μόνον δὲ πνεύματος πτωχείᾳ, καὶ λόγῳ, καὶ σιγῇ θεῷ τῷ
ὑψίστῳ λατρεύσομεν, ἀλλὰ καὶ ἔργοις πολυτελέσι δουλεύσομεν αὐτῷ
ἐφόσον ἐγχωρεῖ ἡ ἑκάστου κλῆσις, θείοις ναοῖς τὰ εἰς χρῆσιν καὶ καλ-
λονὴν ἀνήκοντα προθύμως εἰσφέροντες, τὰ πεπονηκότα ἀνασκευάζον-
τες· ἐνίοτε δὲ εἰς δόξαν θεοῦ καὶ νέους σηκοὺς ἐκ βάθρων ἀνεγείροντες, ἢ
Ψαλ. κή. τοῖς τοιοῦτόν τι θεῖον ἔργον προθυμουμένοις συνεπιλαμβανόμενοι. ἐνέγ- „
κατε τῷ κυρίῳ υἱοὶ θεοῦ. μάλιστα δὲ κατὰ τῶν πολεμούντων τὴν νοητὴν „*

sensuum ostia, erigemus manus mentemque in excelsa ejus, ardentes divino amore, atque sano quodam sobrioque furore quasi instincti, cum reverentia tamen & humiliatione, cum discretione, cum firmitate ac zelo, sine incuria ac multiloquentia, orabimus. *Dixit* enim
Exod. 14, 15. *Dominus ad Moysen* (non ore loquentem sed mente orantem) *Quid clamas ad me?* tantam habet vim mentalis precatio. quam subindi-
*Psl. 28, 1. cans magnus Basilius, *Habeto* inquit *occultas precationes*, & *Anna* mater
1. Reg. 1, 14. Samuelis *loquebatur in corde suo*, dicebantque ei, *usque quo ebria eris?* At illa respondit: *Effudi animam meam in conspectu Domini.*

Sed non solum in egestate spiritus & sermone aut silentio serviemus Deo altissimo, verum etiam operibus luculentis quantum cujusque status ac conditio patitur, ad usum & ornatum sacrarum ædium pertinentia alacriter conferentes, sarta tecta servantes, vitiosa reparando: aliquando etiam nova templa a fundamentis erigentes, aut eos qui ejusmodi sacrum opus moliuntur adjuvantes. **Afferte Domino filii Dei:* præcipue vero contra oppugnantes

τοῦ

τȣ̃ Χριςȣ̃ νύμφην τὴν ἐκκλησίαν, ὔτε πόνȣ, ὔτε χρημάτων, ὔτε ζωῆς φειδόμενοι, καὶ ὅπῃ δεήσει μέχρις αἵματος χωρȣ̃ντες διὰ τὸν ὑπὲρ ἡμῶν τὸ θεῖον αὐτȣ̃ ἐκχέαντα αἷμα, καὶ τῆς καταδυναςείας τȣ̃ ἀλάςορος ἡμᾶς λυτρώσαντα. τιμήσομεν δὲ, ἔκ τε τῶν ἐνόντων περιθάλποντες διατελέσομεν, καὶ τȣ̀ς ἱερεῖς τȣ̃ ὑψίςȣ, τȣ̀ς διηνεκῶς ὑμνȣ̃ντας αὐτὸν. καὶ τὴν ἀναίμακτον θυσίαν ὑπὲρ ἡμῶν προσφέροντας, ὅπως ἔχοντες κἀκεῖνοι τὰ πρὸς ζωὴν αὐτάρκη, τῇ μελέτῃ τῶν θείων λογίων ὅλως προσκείσωνται, καὶ καταρτίζωσι τὸν χριςώνυμον λαὸν, μηδαμῶς ἐμ-
„ πλεκόμενοι τῇ φλυαρίᾳ τȣ̃ βίȣ, καὶ ταῖς κοσμικαῖς φροντίσιν. ἐμοὶ δὲ ψαλ. ρλή.
„ λίαν ἐτιμήθησαν οἱ φίλοι σȣ ὁ Θεὸς, καὶ λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ κεφ. ζ.
„ αὐτῶν. καὶ ὁ σοφὸς Σειρὰχ, φοβȣ̃ τὸν κύριον, καὶ δόξασον ἱερέα.

Ὅτι ὑπὸ τῆς θείας προνοίας διοικεῖται τὰ πάντα.

Κεφάλαιον, έ.

ΛΑμπροτάτȣς φέρει χαρακτῆρας τῆς θείας προνοίας ἡ κτίσις, καὶ πάντα τὰ ὄντα μονονȣχὶ φωνὴν ἀφιέντα, τὰ μὲν τῷ κάλλει, καὶ

Spiritualem Christi sponsam Ecclesiam, nec labori nec opibus, neque vitæ parcentes, atque ubi opus ad sanguinem usque profundendum procedentes propter eum qui divinum pro nobis effudit sanguinem, nosque ab oppressione infesti Dæmonis liberavit. Honorabimus, & quantum in nobis fuerit, fovebimus assidue etiam Sacerdotes Altissimi, qui eum perpetuo celebrant, & incruentum illud pro nobis offerunt Sacrificium, ut rebus vitæ necessariis quantum satis instructi, meditationi Divinorum oraculorum unice incumbant, instruantque populum a Christo nomen habentem, haud quaquam impliciti vanitatibus vitæ aut mundanis curis: *Mihi autem nimis honorificati sunt amici tui Deus: nimis confortatus est principatus eorum.* Ps. 138. 17. & sapiens ille Sirach, *Time Dominum, & sacerdotem glorifica.* Ecclesiastici, 7, 31.

CAP. V.

Divina Providentia omnia gubernari.

CLarissimas gestat notas Divinæ Providentiæ creatura, & omnes res tantum non vocem emittentes, partim pulchritudine sua, partim

τῇ εὐτάκτῳ κινήσει, τὰ δὲ τῇ διὰ τῆς ἐν ῥυθμῷ μεταβολῆς ἀλληλοδιαδόχῳ διαμονῇ, κηρύττουσι τὴν διὰ σμικρῶν τε, καὶ μεγάλων διήκουσαν τοῦ δημιουργοῦ τῶν ὅλων πρόνοιαν. διὸ καὶ τῶν πάλαι σοφῶν οἱ μὴ παντάπασι περὶ τὰ θεῖα τοφλώττοντες, ὥσπερ Ἐπίκουρος, τὸ ἔκτρωμα τῆς ἀνθρωπίνης φύσεως, τὸ ἀνδράποδον ἡδονῆς ἀποπλύστου (κἂν νόθοις λόγοις οἱ αὐτοῦ μιμηταὶ τὰ ἀποτρόπαια ἐκείνου καλλωπίζωσι δόγματα) διομολογοῦντες, καὶ τεθηπότες, καὶ γεραίροντες διετέλεσαν τὴν τοῦ θεοῦ πρόνοιαν, καὶ τὴν ἀνεξάντλητον χορηγίαν μυρίων ἀγαθῶν. θεοῦ γάρ εἰσι πάντα φασὶ κτήματα. τὸ δὲ θεῖον, καὶ ἄριστον ὂν, πῶς ἂν ἀμελήσειε τῶν ἰδίων; ἢ τῶν μεγάλων ἐπιμελούμενον, τῶν σμικρῶν οὐ φροντίσειεν; οὐ δὲ γὰρ ἰατρὸς βουλόμενος, καὶ δυνάμενος, ἐπὶ θεραπείαν χωρῶν, τῶν μὲν μεγάλων ἐπιμελήσεται, τῶν δὲ σμικρῶν μορίων ἀμελήσει. οὐ δὲ στρατηγὸς, οὐ δὲ πολιτικὸς ῥαθύμως διακείσεται περί τε μεγάλων, περί τε σμικρῶν. μὴ τοίνυν τόν γε θεὸν ἀξιώσωμέν ,, ποτε θνητῶν δημιουργῶν φαυλότερον. οἱ τὰ προσήκοντα αὐτοῖς ἔργα, ,, ὅσῳπερ ἂν ἀμείνους ὦσι, τόσῳ ἀκριβέστερα, καὶ τελεώτερα μιᾷ τέχνῃ, ,, σμικρὰ καὶ μεγάλα ἀπεργάζονται. τὸν δὲ θεὸν ὄντα τε σοφώτατον, ,,

ordinato motu, partim perennitate in mutatione modificata, prædicant Creatoris Providentiam, magna minoraque pervadentem. Quapropter & ex Veteribus Philosophis ii qui non prorsus circa res Divinas cæcutirent, ut Epicurus, abortivus humanæ naturæ, mancipium illud fœdæ voluptatis (etiamsi adulterinis verbis Sectatores ejus decorent abominanda illius decreta) semper confessi sunt admirabundi ac venerabundi providentiam Dei & inexhaustam largitionem plurimorum bonorum. Dei enim, inquiunt, possessiones sunt omnia. Porro Deus qui est Optimus quomodo negligeret peculium suum? An majora curans de parvis sollicitus non erit? Enimvero nec medicus, si velit ac possit, ad medicinam faciendam accedens, magnas tantum partes curabit, neglectis minoribus: nec Præfectus militiæ, neque administrator rerum civilium circa majora minoraque segnis aut indiligens erit. *Ne igitur existimemus unquam Deum magistratibus mortalibus ac opificibus deteriorem, qui convenientia sibi opera quanto sunt meliores, tanto accuratiora & perfectiora omni conatu efficiunt. Enimvero Deus, qui est sa-*

βουλόμενον

„ βουλόμενόν τε ἐπιμελεῖσθαι, καὶ δυνάμενον, σμικρῶν τε, καὶ μεγάλων προνοεῖν, φησιν ὁ Πλάτων, τοὺς τἀναντία φρονοῦντας νεανικοῖς λόγοις ἐκφαυλίζων, ἐν τῷ δεκάτῳ βιβλίῳ τῶν νόμων· τήν τε θείαν δίκην ἐξυ-
„ μνῶν; οὐ γὰρ ἀμεληθήσῃ ποτὲ ὑπ' αὐτῆς φησιν, οὐχ οὕτω σμικρὸς ὢν
„ δύσῃ κατὰ τὸ τῆς γῆς βάθος, οὐδ' ὑψηλὸς γενόμενος, εἰς τὸν οὐρανὸν
„ ἀναπτήσῃ· τίσεις δὲ τὴν προσήκουσαν τιμωρίαν, εἴτ' ἐνθάδε μένων,
„ εἴτε καὶ ἐν ᾅδου διαπορευθείς. καὶ ἐπειδὴ ἀνεγνωκέναι αὐτόν φασι τὰς θείας γραφὰς, ἴσως ἀπὸ τῶν Δαβιτικῶν ψαλμῶν ἀρυσάμενος ἔφθη
„ οὕτω πολυτελεῖς λόγους. ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ Ψαλ. ρλή.
„ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ.
„ ἐὰν καταβῶ εἰς τὸν ᾅδην πάρει.

Αἰσχυνθήτωσαν τοίνυν οἱ τοῦ Χριστοῦ μὲν φέροντες ὄνομα, περὶ δὲ τῆς θείας προνοίας διστάζοντες, χανέτω αὐτοῖς ἡ γῆ, ἐθελοντὶ τυφλώττουσι, καὶ κακουργοῦσιν. οἱ γὰρ οὐρανοὶ οὐ κεκμήκασι περιδινούμενοι, ὁ ἥλιος τὸ θαυμαστὸν σκεῦος, τὸ ἔργον τοῦ ὑψίστου, διηνεκεῖ δρόμῳ θέων, καὶ πάντα τὰ ὑπὲρ γῆν τῷ φωτὶ καταλάμπων, καὶ ἐς αὐτοὺς τοὺς μυχοὺς τῆς γῆς τῇ ἀλέᾳ διϊκνούμενος, οὐκ ἀπείρηκεν· ὁ, τε ἀὴρ ἀτρύτῳ

pientissimus, *vultque & potest curare tam parva quam magna, providus quoque est*, ut ait Plato, contraria sentientes masculis rationibus ac dictis elevans & confutans, Lib. X. Legum, divinamque justitiam celebrans. *Non enim negligeris unquam*, inquit, *ab ea, non tam pusillus subibis intima terræ, neque sublimis factus in cœlum evolabis; sed lues congruam pœnam, sive hic manens, sive Orco translatus.* Et, quandoquidem legisse eum ajunt divinas Scripturas, forsitan ex Davidicis Psalmis haustas protulit tam pretiosas sententias. *Quo ibo a spiritu tuo? & quo a facie tua fugiam? Si ascendero in cœlum, tu illic es: si descendero in infernum, ades.* Pf. 138, 7.

Pudeat igitur eos qui a Christo habent nomen, de providentia tamen dubitant, dehiscat eis terra, ultro cæcutientibus ac malignantibus. Cœli enim non sunt fatigati vorticibus suis, Sol, vas illud admirabile, opus Excelsi, perpetuo motu currens, omniaque super terram lumine suo collustrans, & ad interiora terræ calore suo penetrans, non delassatur; aër etiam indefesso labore

καμάτῳ

καμάτῳ φερόμενος, νεαραῖς αὔραις τὰ πεπονηκότα, καὶ εἰς φθορὰν
ἄλλως ὑποῤῥέοντα σώματα ὅσαι ὧραι ζωογονεῖ· ὄμβροις τε ποτίζει τὰ
σπλάγχνα τῆς τρεφούσης ἡμᾶς μητρός. ἀλλ᾽ οὐδ᾽ αὐτὴ κάμνει ποι-
κίλας τροφὰς χορηγοῦσα. πᾶσα μὲν γὰρ ἡ ἐπίγειος κτίσις εἰς δόξαν
τοῦ πλάσαντος δεδημιούργηται, ἀλλ᾽ ὅμως ὑπουργοῦσα τοῖς θείοις αὐτοῦ
νεύμασι, καὶ σοὶ τῷ ἀχαρίστῳ δουλεύει, τῷ κατ᾽ εἰκόνα μὲν θεοῦ κτισθέν-
τι, τῇ δ᾽ ἐς μοχθηρίαν ἀκαθέκτῳ φορᾷ ἀμαυροῦν αὐτὴν οὐ διαλείποντι·
καὶ ἐπὶ τούτῳ μονονουχὶ ἄγεται, καὶ φέρεται γῆ τε, καὶ θάλασσα,
ἀήρ τε, καὶ ἀστέρες, ἵνα σοι χορηγήσωσιν, οὐ τροφὴν μόνον, ἀλλὰ καὶ
ψαλμ. η. τρυφὴν ἀνεπίμωμον. πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, „
πρόβατα, καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πε- „
τεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης. σὺ δ᾽ ἆρα μόνος ὥς- „
περ τις κηφὴν ἀσύμβολος περιιὼν, οὐκ εἰς ὕμνους ἐκλακήσῃ τοῦ μεγαλο-
δωροτάτου δεσπότου; σὺ μόνος οὐχ ὑπείξεις τοῖς θείοις αὐτοῦ προστά-
γμασιν; ἀλλ᾽ ὑπείξεις κἂν διαῤῥαγείης, πάντα γὰρ ἐν τῇ δρακὶ αὐτοῦ
συνέχεται, πάντα τῶν ἐκείνου νευμάτων κρέμαται· ἐκεῖνός ἐστιν ὁ ἐπι- „
ψαλ. ργ'. Ματθ. κεφ. ι. βλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ᾧ καὶ αἱ τρίχες ἡμῶν „

agitatus, vernalibus ac recentibus auris vitiata ac in corruptionem vergentia corpora quotannis vivificat ac recreat, imbribusque irrigat viscera Telluris almæ matris. Sed & hæc non deficit varia alimenta præbendo. Etenim omnis creatura per terram in gloriam Creatoris condita est, sed tamen ministrans divinis ejus nutibus etiam tibi ingrato ac inofficioso servit, ad imaginem quidem Dei formato, sed impetu irrevocabili in vitium nitendo deformare eam non desinenti: & propterea agitantur & tantum non vexantur, terra, mare, aër, astra, ut tibi suppeditent non modo cibum, sed & delicias inculpatas. * *Omnia subjecisti pedibus ejus, oves & boves universas, insuper & pecora campi, volucres cœli, & pisces maris.* Tune ergo solus tanquam aliquis fucus, immunis ac inutilis incedens, non liquesces in laudes munificentissimi Domini? tuque solus non cedes divinis ejus præceptis? Sed cedes vel invitus ac dolens, omnia enim in pugillo ejus continentur, omnia ex ejus nutibus pendent, ipse est * *Qui respicit terram, & facit eam tremere;* ** *Cui & capilli nostri sunt numerati:*

* Ps. 8, 8.
* Ps. 103, 32.
** Matth. 10, 29. 30.

εἰσὶ

εἰσι μεμετρημέναι, οὗ χωρὶς οὐδὲ στρουθίον ἀσσαρίου πωλεῖται. εἰς τοσοῦτον δ' ἀνοίας, καὶ ἀπονοίας προκεχωρήκασιν οἱ ἄνθρωποι, ὥστ' ἐπινοίαις ἀνερευνᾶν τὰ βάθη τῆς θείας προνοίας, καὶ λόγους ἀπαιτεῖν τῶν γινομένων, καὶ ταράττεσθαι ταῖς ἐπὶ μέρους οἰκονομίαις, καὶ ἀνεξιχνιάστοις τοῦ θεοῦ κρίσεσιν. ὁ δὲ προφήτης καὶ βασιλεὺς Δαβὶδ ὁμολογεῖ μὲν τὴν ἀσθένειαν καὶ ἄγνοιαν τῆς ἀνθρωπίνης φύσεως, οὐδέποτε δὲ τοῦ
„ θεοῦ ἀφίσταται. κτηνώδης ἐγενήθην παρὰ σοὶ, κἀγὼ διὰ παντὸς μετὰ Ψαλ. οβ.
σοῦ. τό, τε νήπιον, καὶ μονονουχὶ θηλάζον, καὶ γάλα ἐσθίον τοῦ ἀνθρω- Ψαλ. η.
„ πίνου νοὸς θριαμβεύων, ἐκ στόματος νηπίων, καὶ θηλαζόντων κατηρ-
„ τίσω αἶνον φησί. σὺ δὲ τὶς εἶ ὁ τὸν δεσπότην ἐρωτῶν; δύναται ὁ πηλὸς Παῦλ. ῥωμ. κεφ. θ.
„ εἰπεῖν τῷ κεραμεῖ, διατί τὸ μὲν εἰς τιμὴν ποιεῖ, τὸ δὲ εἰς ἀτιμίαν; οὐκ ἀρκεῖ σοι τὸ εἰδέναι ὅτι πάντα πανσόφως διοικεῖται, ὅτι πάντα πρὸς τὸ συμφέρον σοι διοικονομεῖται, ὅτι πάντων οἱ λόγοι παρὰ θεῷ πεπήγασιν, ὅτι πάντα τῆς θείας αὐτοῦ βουλήσεως ἤρτηται; οὐκ ἀρκεῖ σοι τὸ φιλανθρωπίας περιουσίᾳ αὐτεξουσίῳ δεδωρῆσθαι; ἰδοὺ σοι, φησὶν, ἔθηκα πῦρ, καὶ ὕδωρ, τὴν ζωὴν, καὶ τὸν θάνατον, οὗ ἐὰν ἐθέλῃς ἔκτεινόν σου τὴν χεῖρα. ἠνέῳκταί σοι τῆς ἀρετῆς ὁ δρόμος, πρόκειται μεγάλα βραβεῖα,

quo sine nec passer cadit super terram. Eo autem processere homines dementiæ ac temeritatis, ut excogitationibus scrutentur profunditates Divinæ providentiæ, & rationes poscant eorum, quæ fiunt, turbenturque specialibus ejus dispensationibus, & imperscrutabilibus judiciis. At rex & propheta David fatetur quidem infirmitatem & ignorantiam humanæ naturæ, nunquam tamen a Deo recedit. **Ut jumentum factus sum apud te, & ego semper tecum.* Atque infantiam humanæ mentis pæne adhuc sugentem & lacte vescentem traducens ac palam ostentans, ***Ex ore infantium & lactentium perfecisti laudem* inquit. *Tu vero quis es qui Dominum interrogas? Numquid dicit lutum figulo, cur aliud vas in honorem faciat, aliud vero in contumeliam?* Nonne sufficit tibi scire, omnia sapientissime ordinari ac digeri, omnia ad tuum commodum dispensari, omnium rationes apud Deum constare ac fixas esse, omnia a divina ejus voluntate pendere? Non tibi sufficit, clementiæ abundantia, liberum arbitrium esse concessum. Ecce, inquit, proposui tibi ignem & aquam, vitam & mortem, quo volueris extende manum. Patet tibi virtutis stadium, proposita sunt magna

Rom. 9, 20.
*Psl. 72, 23.
**Psl. 8, 3.

ἴθι ἐπὶ τὸ πρόσω νεανικῷ τῷ φρονήματι. τοῖς μὲν γὰρ ἐρήμοις τῆς ἄνωθεν χάριτος, ἡ ἐπ' ἀρετὴν ὁδὸς ἀνάντης, καὶ φαραγγώδης, καὶ ἀμ-
Ἡσιό. Ἐργ. φίκρημνος· διὸ ὁ περὶ μύθους πολύς, φησι, τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ "
Ματθ. κεφ. ια. προπάροιθεν ἔθηκαν· τοῖς δὲ θεοῦ χειραγωγοῦντος εὐζώνοις ἀνιοῦσιν, ὁ "
ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρὸν, ἔλεγεν ὁ δεσπότης. "
ἀμέλει ἐλπίδος ἔμπλεως, καὶ οὐ σεαυτῷ, ἀλλὰ θεῷ τεθαῤῥηκὼς, ἄσκει τὰς ἀκηράτους ἀρετάς. τοῦτο γάρ ἐστιν ἐπὶ σοὶ, τούτου σὺ καθέστηκας κύριος, τοῦ δεσπότου ἐπιδαψιλευσαμένου, καὶ ταῖς σαῖς προαιρετικαῖς ὁρμαῖς ἄπλετον ἄνωθεν ἐπιχέοντος τῆς χάριτος τὸν ἔλεον, καὶ τὰς ἐπιτυχίας, καὶ ἀποβάσεις τῶν καλῶν πρυτανεύοντος. ἄνευ γὰρ τῆς
Ἡσα. κεφ. ι. ἐκεῖθεν ῥοπῆς, πάντα φροῦδα, πάντα νεκρά. μὴ δοξασθήσεται γὰρ "
ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκον- "
nem natura ratioque ab oculis ad animum transferens, multo etiam magis pulchritudinem, constantiam, ordinem in consiliis factisque observandum putat: cavetque ne quid indecore effœminateve faciat: tum in omnibus & opinionibus & factis, ne quid libidinose aut faciat aut cogitet. Quibus ex rebus conflatur & efficitur id quod quærimus, honestum: quod etiam si nobilitatum non sit, tamen honestum sit: quodque vere dicimus, etiamsi a nullo laudetur, laudabile esse natura. Sed omne quod honestum est, id quatuor partium oritur ex aliqua. Aut enim in perspicientia veri solertiaque versatur: aut in hominum societate tuenda, tribuendoque suum cuique, & rerum contractarum fide: aut in animi excelsi atque invicti magnitudine ac robore: aut in omnium quæ fiunt, quæque dicuntur, ordine & modo, in quo est modestia & temperantia. Quæ quatuor quamquam inter

πως ἀλλήλοις, καὶ ἀνακέκραται, καὶ συμπέφυρται, ἀλλ᾽ ἀπὸ ἑκάςȣ τȣ́των πηγάζει διωρισμένα τινὰ καθήκοντος εἴδη. ἀπὸ μὲν γὰρ τȣ̃ πρώτȣ μορίȣ, ἐν ᾧ ἵδρυται ἡ σοφία καὶ ἡ φρόνησις, βλαςάνει ἡ ἔρευνα καὶ ἐπιτυχία τῆς ἀληθείας, καὶ τȣ̃το ἴδιον καὶ καθῆκόν ἐςι τῆς τοιαύτης ἀρετῆς. ὁ γὰρ ἀγχινȣ́ςατος, καὶ τῆς ἀληθείας ἐν ὁτῳȣ̃ν ἐπιτυχέςατος, καὶ ὅτι τάχιςα ἀνευρεῖν τὸ δέον εὐφυέςατος, καὶ ἀποδȣ̃ναι λόγον εὐπορώτατος, ἐκεῖνος τῳόντι φρονιμώτατος καὶ σοφώτατος ὑπείληπ]αι. ὑπόκειται ἄρα τῇ φρονήσει ἡ ἀλήθεια περὶ ἣν ἀσχολεῖται. ταῖς δὲ ἄλλαις τρισὶν ἀρεταῖς ἐπιβάλλει, πορίζεσθαι καὶ φυλάτ]ειν τὰ ἐς τὴν πρακ]ικὴν ζωὴν ἀνήκοντα. καὶ ἡ μὲν μεγαλοφυία καὶ μεγαλοψυχία ἀναφαίνεται, ἔν τε τῇ αὐξήσει τῶν ὄντων, καὶ ἐν τῇ περιποιήσει τῶν συμφερόντων ἑαυτῷ τε, καὶ τοῖς περὶ αὐτὸν, καὶ μάλιςα ἐν τῇ τῶν ἀνθρωπίνων πραγμάτων ὀλιγωρίᾳ. ἡ δὲ εὐταξία, καὶ ςαθηρότης, καὶ ἡ σωφροσύνη, καὶ μετριότης, καὶ τὰ τȣ́τοις ἀδελφὰ, ȣ̓κ ἐν τῷ νοῒ μόνῳ, ἀλλὰ καὶ ἐν ταῖς πράξεσιν εἰλȣ̃νται· τοῖς γὰρ ἁπαντῶσιν ἐν τῷ βίῳ τάξιν καὶ κόσμον περιτιθέντες, τὸ καλὸν, τὸ τίμιον, τὸ πρέπον φυλάξομεν.

ſe colligata atque implicita ſunt, tamen ex ſingulis certa officiorum genera naſcuntur: velut ex ea parte quæ primo deſcripta eſt, in qua ſapientiam & prudentiam ponimus, ineſt indagatio atque inventio veri: ejusque virtutis hoc munus eſt proprium. Ut enim quisque maxime perſpicit quid in re quaque veriſſimum ſit, quique & acutiſſime & celerrime poteſt & videre & explicare rationem, is prudentiſſimus & ſapientiſſimus rite haberi ſolet. Quocirca huic, quaſi materia quam tractet & in qua verſetur, ſubjecta eſt veritas. Reliquis autem tribus virtutibus neceſſitates propoſitæ ſunt ad eas res parandas tuendasque quibus actio vitæ continetur: ut & ſocietas hominum conjunctioque ſervetur: & animi excellentia magnitudoque cum in augendis opibus, utilitatibusque, & ſibi & ſuis comparandis, cum multo magis in his ipſis deſpiciendis eluceat. Ordo autem & conſtantia & moderatio, & ea quæ his ſunt ſimilia, verſantur in eo genere, ad quod adhibenda eſt actio quædam, non ſolum mentis agitatio. His enim rebus, quæ tractantur in vita, modum quendam adhibentes & ordinem, honeſtatem & decus conſervabimus.

Ἔςιν

Ἔςιν ἄρα ἡ ἀρετὴ, ὡς ἐν κεφαλαίῳ φάναι, ἕξις προαιρετικὴ, βελτίςη, τελειωτικὴ ἀνθρώπου, καθ᾽ ἑαυτὴν ἐπαινετὴ, ἀγαθότητος καὶ ἀκηράτου εὐδαιμονίας χορηγός. καὶ ὥσπερ διὰ τῶν ὀφθαλμῶν φωτὸς ἐμπιπλάμενοι, ὁρῶμεν τὰ ὑπ᾽ ὄψιν πίπ]οντα, οὕτω διὰ τῶν ἀρετῶν ἀντιποιούμεθα τῶν ὄντως καλῶν, σπουδαίᾳ ψυχῆς διαθέσει, ἠρεμαίαις τε καὶ τεταγμέναις κινήσεσιν εἰς ἐπίκ]ησιν αὐτῶν χωροῦντες, ἀλήθειαν θηρώμενοι, τὰ ἀπόῤῥητα τῆς φύσεως ἀνιχνεύοντες, τὸ διανοητικὸν τῆς ψυχῆς τοῖς ἀνθηροτάτοις τῶν ἐπιςημῶν χρώμασι καταλλύνοντες, ἀδεκάςοις ψήφοις ἕκαςον πραγμάτων τε καὶ προσώπων ζυγοςατοῦντες, καὶ ἑκάςῳ τὸ καθῆκον ἀπονέμοντες. τῷ
» τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον τὸν φόβον, Παῦλ. ῥωμ. κεφ. ιγ.
» τῷ τὴν τιμὴν τὴν τιμήν· ἱλέῳ ψυχῇ μετ᾽ ἐπιεικείας ἐνίοτε κολάζοντες μὲν τοὺς φαύλους, τοὺς δ᾽ ἀξίους δαψιλῶς εὐεργετοῦντες. ἐςι γὰρ ἀρετῆς, τὸ ἵλεων εἶναι, καὶ εὐμενῆ, καὶ συγγνωμονικὸν, καὶ εὐγνώμονα, καὶ εὔελπιν, καὶ νεανικῷ φρονήματι τήν τε ἀγέρωχον τύχην πατοῦντα, καὶ ὑπὸ τῆς σκαιᾶς μηδαμῶς ἐκπλητ]όμενον, μηδὲ ταρασσόμενον, οὐδέποτε τῶν καθηκόντων ἀφίςασθαι, καὶ τὸ καταςέλλειν τὰς ὁρμὰς τῶν

Est igitur virtus, summatim indicando, habitus arbitrarius ac voluntarius, optimus, perficiens hominem, per se laudabilis, bonitatis ac felicitatis effector. Atque sicut per oculos luce recepta, cernimus ea quæ sub visum cadunt, ita per virtutes capessimus vera bona, seria animi dispositione, sedatisque ac ordinatis motibus ad acquisitionem eorum pergentes, veritatem quærentes, arcana naturæ investigantes, intellectualem animæ partem mentemque floridissimis scientiarum coloribus exornantes, incorruptis calculis ac judiciis rem quamvis personamque ponderantes, atque cuique convenientia ac debita reddentes, *Cui tributum, tributum: cui vectigal, vectigal: cui timorem, timorem: cui honorem, honorem:* placido ac miti animo quandoque punientes improbos, beneficia promeritis largientes. Est enim virtutis, mitem esse, benevolum, in ignoscendo facilem, æquanimem: bene sperare, ac masculo animo insolentiam fortunæ calcando, adversam minime expavescendo nec terroribus cedendo, unquam ab officio discedere: impetus affectuum compescere, modificando Rom. 13, 7.

 παθῶν,

παθῶν, ἐν κόσμῳ καὶ μετριότητι καθιςῶντα, ὃ σωφροσύνην καλοῦμεν. Ἐπανθεῖ δὲ καὶ τῇ φρονήσει, καὶ τῇ δικαιοσύνῃ, καὶ τῇ ἀνδρείᾳ τὸ σῶφρον. σωφροσύνης γὰρ ὀλίγωρος φρόνησις, ἐκπίπτει τῆς ἀληθείας ἀκολαςαίνουσα, καὶ εἰς ἀλλοκότους ἐννοίας περί τε θείων καὶ ἀνθρωπίνων σχετλίως ἐκτραχηλίζεται. καὶ δικαιοσύνη μὴ σωφρονοῦσα, ἄντικρυς ἀδικία. ἀνδρεία δὲ σωφροσύνης ἄμοιρος, θηριωδία μᾶλλον, ἢ ἀρετή. σωφρονοῦμεν δὲ καὶ λόγοις, καὶ σιωπῇ καὶ βλέμματι, καὶ βαδίσματι, καὶ ςολῇ, τοῦ κοσμίου καὶ πρέποντος διὰ παντὸς ςοχαζόμενοι.

Ἡ δ' ἀρετὴ ἐπειδὴ πάντοτε διώκει τὴν ἀλήθειαν μηδαμῶς κολακεύουσα τοὺς αὐτῆς ἐραςὰς, ἀπερικαλύπτῳ τῷ προσώπῳ εἴωθε διηγεῖσθαι τὰ ὄντα μετ' ἀμφιλαφοῦς ἀληθείας, ὡς παρὰ Ξενοφῶντι. « οὐκ ἐξαπατήσω σέ, φησι, προοιμίοις ἡδονῆς, ἀλλ' ἧπερ οἱ θεοὶ διέθεσαν « τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ « καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις. ἀλλ' « εἴ τε, φησὶ, τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· « εἴ τε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴ τε « ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον. καὶ εἴ τε «

& in ordinem redigendo; id quod ſanam ſobriamque mentem, continentiam, temperantiam ac modeſtiam appellamus. Enitent autem iſtæ virtutes in prudentia ac juſtitia atque fortitudine. Eas namque negligens ſapientia, veritate excidit proterviens, atque in monſtroſas opiniones de divinis humanisque rebus præceps ruit: juſtitia etiam ſine iis plane eſt injuſtitia: fortitudo autem expers earum, feritas potius eſt quam virtus. Exercemus autem eas, ſobrieque & moderate ac modeſte agimus, in verbis in ſilentio, in adſpectu, in inceſſu, in veſtitu, convenientiam & decorem perpetuo ſpectantes.

Ceterum virtus, quoniam ſemper ſectatur veritatem, haud quaquam blandiens ſuis amatoribus, rem ipſam amat exponere citra omnem veri diſſimulationem, ſicut apud Xenophontem: *Non decipiam te*, inquit Virtus, *voluptatis proœmiis, ſed quemadmodum Dii diſpoſuere, ita rem ipſam vere exponam. Nihil enim bonum ac præclarum ſine labore & ſtudio Dii dant hominibus. Sed ſive*, inquit, *Deos propitios tibi eſſe vis, colendi ſunt Dii: ſeu ab amicis vis diligi, demerendi amici: ſive ab urbe*

τὴν

„ τὴν γῆν, φησιν ἡ ἀρετὴ, φέρειν σοι βȣ́λει καρπȣ̀ς ἀφθόνȣς, τὴν γῆν „ θεραπευτέον. εἴ τε ὑπὸ βοσκημάτων οἴει δεῖν πλȣτίζεσθαι, τῶν „ βοσκημάτων ἐπιμελητέον. εἴτε διὰ πολέμȣ ὁρμᾷς αὔξεσθαι, καὶ βȣ́λει „ δύνασθαι τȣ̀ς τε φίλȣς ἐλευθερȣ̃ν, καὶ τȣ̀ς ἐχθρȣ̀ς χειρȣ̃σθαι, τὰς „ πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισαμένων μαθητέον, καὶ „ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον. εἰ δὲ καὶ τῷ σώματι βȣ́λει δυνατὸς „ εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθισέον τὸ σῶμα, καὶ γυμνασέον σὺν πόνοις „ καὶ ἱδρῶτι. καὶ πάλιν αὐτὴ ὑπὲρ ἑαυτῆς φησιν, ἔργον καλὸν ȣ̓́ τε θεῖον, „ ȣ̓́ τε ἀνθρώπινον χωρὶς ἐμȣ̃ γίγνεται. τιμῶμαι δὲ μάλισα πάντων, „ ἀγαπητὴ συνεργὸς τεχνίταις, πισὴ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς „ παρασάτις οἰκέταις, ἀγαθὴ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία „ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίση φιλίας κοινωνός.

„ Ἔσι δὲ τοῖς μὲν ἐμοῖς φίλοις, φησὶν, ἡδεῖα μὲν καὶ ἀπράγμων „ σίτων καὶ ποτῶν ἀπόλαυσις, ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν „ αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεσιν ἡδίων, ἢ τοῖς ἀμόχθοις, καὶ ȣ̓́ τε ἀπο- „ λιπόντες αὐτὸν ἄχθονται, ȣ̓́ τε διὰ τȣ̃τον μεθιᾶσι τὰ δέοντα πράττειν. „ καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρȣσιν, οἱ δὲ γεραίτεροι

aliqua cupis honorari, emolumento esse urbi oportet. Porro, inquit Virtus, *sive tellurem ferre tibi fructus uberes vis, colenda tellus: sive bello crescendi cepisti impetum, cupisque posse cum amicos liberare, tum hostes subigere, artes bellicæ non solum addiscendæ ab earum peritis, sed etiam meditandus earum usus. Quod si corpore etiam vis esse validus, ut animo pareat corpus adsuefaciendum est, & exercendum labore ac sudore.* Ac rursus pro se ipsa dicens inquit: *opus bonum ac præclarum sine me fit nullum, sive divinum sive humanum. maxime autem omnium honorificor, dilecta opificibus laborum socia, fida domorum custos heris, opitulatrix benigna servis, in laboribus pace curandis egregia adjutrix, in negotiis bellicis firma ac stabilis auxiliatrix, optima amicitiæ consors.*

Est etiam, inquit, *amicis meis cibi & potus perceptio suavis pariter & elaborati nihil habens; expectant enim donec appetant. Iidem somnum capiunt suaviorem otiosis: ac nec excitari moleste ferunt, neque somni causa, quæ agenda necessario sunt, omittunt. Juvenes seniorum laudibus gaudent, seniores juvenum hono-*

τιμαῖς

ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. καὶ ἡδέως μὲν τῶν παλαιῶν "
πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες. δι' ἐμὲ "
φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν "
δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ "
μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσιν."

Ἀλλὰ τοῖς χριστοῦ μαθηταῖς ὑψηλότερος ὁ τῆς ἀρετῆς βαθμὸς, ἐπὶ γῆς μὲν πηξάμενος τὴν βεβαιοτάτην τῆς ταπεινώσεως κρηπῖδα, διὰ δὲ τῆς ἀγάπης εἰς ὄλυμπον διήκων. ἐπειδὴ γὰρ ὁ ἄνθρωπος ἐκ χοὸς καὶ νοερᾶς ψυχῆς σύγκειται, τῆς μὲν μητρὸς μεμνημένος, κἂν πλούτῳ περιῤῥῆται, κἂν ἀξιώμασι φαιδρύνηται, σύνοιδεν ἑαυτῷ, ὅτι γῆς σκώληξ ἐστὶ, καὶ ταπεινούμενος, ὡς ὁ θεῖος Ἀβραὰμ ὁ θεὸν ξενοδοχήσας,
ᾀσμ. κεφ. β. ἐγώ εἰμι γῆ καὶ σποδὸς φησι. καὶ, ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον "
τῶν κοιλάδων. μεμνημένος δὲ καὶ τοῦ πατρὸς, καὶ ὅτι κατ' εἰκόνα αὐτοῦ δεδημιούργηται, τῇ φλογὶ τῆς ἀγάπης εἰς μίμησιν θεοῦ διεγεί-
κεφ. η. ρεται. περίπτερα γὰρ αὐτῆς περίπτερα πυρὸς, φλόγες αὐτῆς. καὶ ἄπλετον κάλλος ἐκεῖθεν περιάπτει τῷ λοιπῷ τῶν ἀρετῶν ὁρμαθῷ, πυρσὸς γὰρ ἀρετῶν ἡ ἀγάπη,

ribus delectantur. Iidem rerum olim gestarum memoriam jucunde repetunt, nec minore cum voluptate præsentia peragunt: cum quidem mea causa Diis accepti sint, amicis chari, patriæ honorati. Denique cum finis fato præstitutus adest, non inhonorati nec oblivioni traditi jacent, sed sempiterna sui memoria celebrati florent.

Christi vero discipuli altiorem habent virtutis gradum, in terris firmissime fundatum humilitatione, charitate autem cœlum contingentem. Homo enim, cum ex humo & intellectuali anima constet, memor matris, etsi divitiis circumfluat, etiamsi honoribus ac dignitatibus niteat, conscius sibi est, se vermem terrenum esse, atque sese humilians, ut divus Abraham, qui Deum hospitio excepit, *Ego sum*, inquit, *terra & pulvis*. & ut alibi, * *Ego flos campi & lilium convallium*; at idem homo memor patris, ad cujus imaginem creatus est, flammma dilectionis ad imitationem Dei excitatur; ** *Lampades enim ejus, lampades ignis atque flammæ:* indeque immensam pulchritudinem adjungit reliquarum virtutum catenæ; ignis enim lucens virtutum charitas,

* Cant. 2, 1.

** Cap. 8, 16.

αἰθομενου

„αἰθομένε δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι. Ὁμήρ. εἰς οἶκον.
ἐκείνης τ' ἀπέσης, πάντα ἄψυχα, καὶ νενεκρωμένα, ἄγονα, ἄκαρπα, κόνις εἰς αὔρας σκεδαννυμένη, καπνὸς εἰς ἀέρα λυόμενος. διὰ τῦτο „ὁ θεῖος Παῦλός φησι, τὲς μὴ ἔχοντας ἀγάπην εἶναι χαλκὸν ἠχῦντα, κορινθ. ά. κεφ. ιγ'.
„καὶ κύμβαλον ἀλαλάζον. καὶ ἕτερος τῆς ἐρήμε πολίτης, φάγε „ἀγάπην, φησί. καὶ ὁ ἅγιος Πολύκαρπος, ὁ ἔχων ἀγάπην, μακρὰν „ἐςι πάσης ἁμαρτίας, φησίν. εἰσαγάγετέ με εἰς οἶκον τῦ οἴνε, τάξατε ἄσμ. κεφ. β'.
„ἐπ' ἐμὲ ἀγάπην.

Παρὰ τὰς γενικὰς δὲ καὶ γνωρίμες ἀρετὰς, ἔςι καὶ ἕτερον σμῆνος ἀρετῶν ἀνωνύμων, μᾶλλον δὲ τοῖς γε εὖ φρονῦσι περιωνύμων εὐγενὲς „φῦλον ἀρετῶν. ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλα- ἄσμ. κεφ. ς'.
„καὶ, καὶ νεάνιδες ὧν ἐκ ἔςιν ἀριθμός. ἀλλ' ἐν αὐταῖς ἡ ἀγάπη πάλιν κεφ. ς'.
„ἔχει τὸ κράτος. μία ἐςὶ περιςερά με, τελεία με, μία ἐςὶ τῇ μητρὶ „αὐτῆς, ἐκλεκτή ἐςι τῇ τεκέσῃ αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες, καὶ „μακαριῦσιν αὐτὴν βασίλισσαι, καί γε παλλακαὶ, καὶ αἰνέσεσιν „αὐτήν. καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος. καὶ πᾶσα ἡ δόξα τῆς ψαλ. μδ'.
„θυγατρὸς τῦ βασιλέως ἔσωθεν, εἰπὼν ὁ θεῖος Δαβὶδ, ἀπενεχθή- „σονται, φησι, τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. ἐπιμελητέον

At lucente domus multo est augustior igne. Absque hac omnia inanima, mortua, infœcunda, sterilia, pulvis qui in auras dissipatur, fumus in aërem evanidus. Itaque divus Paulus ait eos * *qui charitatem non habent esse velut æs sonans, aut cymbalum tinniens.* Atque alius, eremi civis, *comede*, inquit, *charitatem.* Et S. Polycarpus, *Qui habet charitatem*, inquit, *longe est ab omni peccato.*** *Introducite me in cellam vinariam, ordinate in me charitatem.*

Præter generales autem notasque virtutes est & aliud examen quoddam virtutum innominatarum, apud recte tamen sentientes celebrium, nobile quoddam genus virtutum. *Sexaginta sunt reginæ, & octoginta concubinæ, & adolescentularum non est numerus.* Sed inter eas charitas rursus imperium obtinet. *Una est columba mea, perfecta mea, una est matris suæ, electa genitricis suæ. Viderunt eam filiæ, & beatissimam prædicaverunt, reginæ & concubinæ, & laudaverunt eam.* Divus etiam David cum dixisset, *Omnis gloria ejus filiæ regis ab intus; adducentur*, ait, *regi virgines post eam.*

Cant. 6, 7. * Cor. 13, 1. ** Cant. 2, 4. Ps. 44, 14.

δῆτα καὶ τῶν ἄλλων ἀρετῶν, αἵτινες ὥσπερ καλαὶ θεραπαινίδες δουλεύουσι τῇ βασιλίσσῃ. πολλὰ γὰρ ἡμῖν λείπει, ἵνα θεοῦ μὴ λειπώμεθα. οὐδὲ γὰρ ὥς τις * οἴεται, καίτοι ἐπὶ πολυμαθείᾳ σεμνυνόμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν δεομένην ἐμπίπλησι φιλοσοφίαν, ὁ τὴν ἐπιδεξιότητα, καὶ τὴν εὐαπαντησίαν, καὶ ἀδελφὰς ἀρετὰς γνωρίζων καὶ ἀσκῶν, καὶ τοῖς ἄλλοις ὑποτιθέμενος. αἱ γὰρ γενικώτεραι τῶν ἀρετῶν εἴ γε ἀμοιρήσαιεν τῶν ἐλαττόνων μὲν, ἀλλὰ γλυκύτητος μεστῶν, ἀμοιρήσουσιν ἁπάσης εὐκοσμίας, εἰς τὸ ἀγελαῖον καὶ βάναυσον ἀποκλίνασαι. ἐντετάσθω σοι ἡ προσοχή, φησιν, ὁ Ἐπίκτητος, μήποτε ὑποῤῥυῇς εἰς ἰδιωτισμόν. μεταξὺ δὲ τῶν ἀρετῶν ὑπερανέστηκε τὸ ἁπλοῦν, τὸ εἰλικρινὲς, τὸ ἀκέραιον, ὃ σμῆνος ἀρετῶν περιθεῖ. οὐ δὲ γάρ ἐστιν ὥς γε τοῖς πολλοῖς δοκεῖ ἁπλοῦν, τὸ ἀφελὲς καὶ ἀπεῤῥιμένον, τὸ εὐαπάτητον, καὶ χαῦνον, καὶ νηπιῶδες, τὸ πάρετον καὶ νενοσηκὸς, καὶ ἡ πρὸς τοὺς πονηρευμένους ἐσχηματισμένη χρηστότης, ἣν ὁ μέγας Βασίλειος, προδοσίαν τῆς ἀληθείας, καὶ ἐπιβουλὴν τοῦ κοινοῦ, καὶ ἐθισμὸν πρὸς ἀδιαφορίαν κακῶν, καιρίως ὀνομάζει στηλιτεύων.

*Ἰγν. Ἐπιστ.

Ἀσκητ.

Nimirum ratio habenda eſt etiam ceterarum virtutum, quæ tanquam pulchræ ancillæ ſerviunt reginæ. *Multa enim nobis deſunt, ne a Deo abſiſtamus.* Neque enim, ut quidam opinatur, quamvis glorietur eruditione ſua, præter neceſſitatem multis & abſurdis nominibus replet philoſophiam, is qui dexteritatem, comitatem atque affabilitatem, affinesque virtutes, agnoſcit, & exercet, aliisque proponit. Generaliores enim virtutes ſi deſtituantur iſtis, minoribus quidem, ſed ſuavitate & dulcedine plenis, deſtituuntur omni decore, plebejæ ac ruſticæ evadentes. *Intenta ſit animadverſio tua,* inquit Epictetus, *ne in plebejam vilitatem aut ruſticitatem prolabaris.* Eminet autem inter virtutes ſimplicitas, ſinceritas atque integritas, ſtipaturque examine virtutum. Neque enim, ut pleriſque videtur, ſimplicitas eſt ſtoliditas quædam abjecta laxa & fraudibus expoſita, non infantilis debilitas ac languor, nec improbis accommodata bonitas: quam Magnus Baſilius *proditionem veritatis, & molitionem inſidioſam in ſocietatem, nec non adſuefactionem ad indifferenter habenda mala, opportune appellat*, eam notans

Ignat.

* Aſcet.

„ τεύων· ἀλλὰ τὸ συνημμένον τῇ φρονήσει. γίνεσθε γάρ, φησιν ὁ δεσπότης, Ματθ. κεφ. ι.
„ φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. καὶ ὁ θεῖος Παῦλος, Ῥωμ. κεφ. ιϛ.
„ θέλω δὲ ὑμᾶς σοφοὺς εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν. ἀλλ᾽ ὁ αὐτὸς ἐκκλίνειν κελεύει ἐκείνων, οἳ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. τὸ δὲ ἀκέραιον οὐ μόνον τὸ ἀνύπουλον σημαίνει, ἀλλὰ καὶ τὸ ὁλόκληρον, τὸ μηδενὸς δηλαδὴ τῶν καθηκόντων ὀλίγωρον. ἁπλότης ἄρα καὶ ἀκεραιότης ἐστὶ, τὸ πάντα πράττειν ὀρθῇ, καὶ ἀπεριέργῳ, καὶ ἀμώμῳ συνειδήσει, καὶ ἀποδιϋλισμένῃ ἀπὸ παντὸς ὀλεθρίου χρώματος. ἁπλοῦς ἔστω σοι ὁ τῆς ψυχῆς ὀφθαλμὸς, εἰς οὐρανὸν βλεπέτω, εἰς δόξαν θεοῦ διατεινέσθω.
„ μὴ ἡμῖν κύριε μὴ ἡμῖν, βοᾷ ὁ βασιλεὺς Δαβὶδ, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου ψαλ. ριγ.
„ δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου. ἀκέραιος καὶ ἀμέριστος ἔστω ἡ καρδία, ὁλόκληρον ἑαυτὴν τῷ θεῷ προσφερέτω, πάντα
„ διὰ τὸν θεὸν καὶ λεγέτω, καὶ πραττέτω. καὶ μονότροπος μέν ἐστιν ὁ Βασιλ. ἀσκητ.
„ τοῦ χριστιανοῦ βίος, ἕνα σκοπὸν ἔχων τὴν δόξαν τοῦ θεοῦ. εἴτε γὰρ
„ ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.
„ ἀλλὰ πάλιν ἕκαστος ἐν τῷ ἑαυτοῦ ἔργῳ φυλάσσει τὸν ἴδιον κανόνα. ὡς

ac proſcribens; verum conjunctio & copulatio quædam prudentiæ. * *Eſtote enim*, inquit Dominus, *prudentes ſicut ſerpentes, & ſimplices ſicut columbæ.* & divus Paulus, ** *Sed volo vos ſapientes eſſe in bono, & ſimplices in malo.* At idem declinare jubet ab illis, qui per dulces ſermones & benedictiones ſeducunt corda innocentium. Simplicitas autem non ſolum ſinceritatem ſine dolo ſignificat, ſed & integritatem in nulla parte officiorum negligenda. Simplicitas ergo eſt, omnia agere, recta, infucata & immaculata conſcientia, defæcata ab omni colore pernicioſo.

Simplex tibi ſit oculus animæ, in cœlum ſpectet; in gloriam Dei ſit intentus. *Non nobis Domine, non nobis*, clamat Rex David, *ſed nomini tuo da gloriam, ſuper miſericordia tua & veritate tua.* Simplex & indiviſum ſit cor tuum, totum ſe Deo offerat, omnia propter Deum & loquatur & agat. Atque *conſtans quidem & uniusmodi eſt vita germani chriſtiani, eaque unum modo ſibi propoſitum habet ſcopum, gloriam Dei. Sive enim manducatis, ſive bibitis, ſive quid facitis, omnia ad gloriam Dei facite; ſed rurſum quisque in ſuo negotio obſervat propriam regulam, tamquam*

* Matth. 10, 16.
Pſ. 113, B. 1.
** Rom. 16, 19.
Baſil. Aſcet.

μέλος ἐν σώματι. καὶ ζημιοῦται μὲν αὐτὸς ἀμελήσας τοῦ ἐπιτε- "
ταγμένου, καὶ τῷ κοινῷ δὲ ἐπιβουλεύειν κινδυνεύει περισσοτέρως. "
προδότης γὰρ ἂν εἴη ὁ ἄρχων, εἴγε ἁπλότητος, καὶ ἐπιμώμου χρηστό-
τητος προσχήματι, περιορᾷ τὰ τῆς δικαιοσύνης καθήκοντα, ὑπέρ τε
Ἰγνά. ἑαυτοῦ καὶ ὑπὲρ τοῦ ὑπηκόου, ἀλλὰ μᾶλλον ὑπὲρ δόξης θεοῦ. ἐκδίκει "
σοῦ, φησιν ὁ θεοφόρος πατὴρ, τὸν τόπον ἐν πάσῃ ἐπιμελείᾳ σαρκικῇ "
τε, καὶ πνευματικῇ. καὶ τῶν ἄλλων δὲ ἕκαστος ἁπλότητος προφάσει "
μὴ φροντίζων περὶ ἑαυτοῦ, καὶ περὶ τῶν τέκνων, καὶ περὶ τῶν πλησίον,
μηδὲ τῇ δεούσῃ φυλακῇ καὶ προμηθείᾳ ἀπωθούμενος τὰ εἰς ὄλεθρον
διατεινόμενα, διαῤῥήδην προδότης ἐστί.

Τοῦ γὰρ σοφωτάτου Σολομῶντος εἰπόντος, καιρὸς τῷ παντὶ "
πράγματι, εἰδέναι χρὴ, φησιν ὁ μέγας Βασίλειος, ὅτι καὶ ταπεινο- "
φροσύνης, καὶ ἐξουσίας, καὶ ἐλέγχου, καὶ παρακλήσεως, καὶ φειδοῦς, "
καὶ παῤῥησίας, καὶ χρηστότητος, καὶ ἀποτομίας, καὶ ἁπαξαπλῶς "
παντὸς πράγματος καιρός ἐστιν ἴδιος. ὥστε ποτὲ μὲν τὰ τῆς ταπεινο- "
φροσύνης δεικνύειν, καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία, καὶ μάλιστα
ὅτε καιρός ἐστι τῶν εἰς ἀλλήλους τιμῶν, καὶ καθηκόντων, καὶ τῆς περὶ

membrum in corpore. Et multatur quidem ipse mandata negligens, ac societati fraudem molitur majorem in modum. Proditor enim foret princeps, si simplicitatis & vituperandæ bonitatis prætextu negligeret justitiæ officia, observanda pro seipso, pro subjectis, sed multo magis pro Dei gloria. *Justifica,* inquit pater Theophorus, *locum tuum in omni cura carnali & spirituali.* Sed & alius quivis qui simplicitatis prætextu nec sui nec liberorum nec sociorum curam habet, neque debita præcautione ac providentia propulsat ea quæ in perniciem tendunt, aperte est proditor.

Ignat. Epist. ad Polycarp.

Cum enim sapientissimus Salomon dixerit, *Omnia tempus habent, sciendum est,* inquit Magnus Basilius, *etiam humilitati, & auctoritati, & redarguitioni, & consolationi, & abstinentiæ, & libertati, & benignitati, & severitati, & simpliciter omni rei tempus esse proprium.* Ita ut aliquando humilitas sit ostendenda, & imitandi humiliatione pueri, ac præcipue occasione honorum mutuo exhibendorum & officiorum præstandorum, curandi

τὸ σῶμα

τὸ σῶμα ὑπηρεσίας, ἢ θεραπείας, ὡς ὁ κύριος ἐδίδαξε· ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παῤῥησίαν· καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐπιδείκνυσθαι, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ὁμοίως.

Περὶ ἀνδρείας.

Κεφάλ. ιά.

Ἡ Ἀνδρεία ἐστὶν ἀρετὴ πολυτελὴς, καὶ πολύχους, οὐδὲν ἧττον κοσμοῦσα τὰς ἄλλας ἀρετὰς, ἢ ὑπ' αὐτῶν κοσμουμένη καὶ εἰς φῶς προϊοῦσα, σωφροσύνης γονὴ, φρονήσεως τρόφιμος, δικαιοσύνης ἀδελφὴ καὶ δορυφόρος. δι' αὐτὴν οὐ μόνον δύσπληκτοι περὶ φόβον ἢ θάνατον οἱ ἄνθρωποι γίγνονται, ἀλλὰ πᾶν ὁτιοῦν χαμερπὲς καὶ χαμαίζηλον ὑψηλῷ, καὶ γενναίῳ, καὶ ἀῤῥενωπῷ φρονήματι πατήσαντες, περὶ τὸ ὄντως καλὸν ἀκαθέκτως καὶ ἀκαταμαχήτως ὁρμῶσι, καὶ ὑπὲρ αὐτοῦ πάντα φέρουσιν, εὐτολμίας, εὐψυχίας, λήματος, μεγαλοψυχίας μεστοὶ, εὐτονίᾳ ψυχῆς, καὶ μηδέποτ' ἀπαυδώσῃ νοὸς

corporis aut miniſtrandi, ut Dominus docuit; aliquando auctoritate utendum divinitus conceſſa, ad ædificandum, non vero ad deſtruendum, quando uſus poſtulat auctoritatem: atque tempore quidem conſolationis oſtendenda benignitas, tempore autem ſeveritatis, zelus, & in ceteris ſimiliter.

CAP. XI.

De Fortitudine.

FOrtitudo eſt virtus dives & multifaria, non minus ornans ceteras virtutes quam decus ab illis accipiens, & ſic in lucem procedens, temperantiæ ſoboles, prudentiæ alumna, juſtitiæ ſoror & ſatelles. Per eam non ſolum non percelluntur facile terrore & morte homines, ſed omnia humilia & in terra repentia alto & generoſo atque virili animo calcantes, ad verum bonum irretorti atque indomiti feruntur, ejusque cauſa omnia perpetiuntur, confidentia, animoſitate ac magnanimitate pleni: firmitate animi & vigore mentis in-

ἀκμῇ ἐπιτελοῦντες τὰ καθήκοντα, προχείρως καὶ ἑτοίμως ἐπιβάλλοντες οἷς δεῖ, καὶ νεανικῶς ὑπομένοντες ἃ λόγος αἱρεῖ, καὶ ὥσπερ ἀπό τινος σκοπιᾶς ἐποπ]εύοντες τὰ χαμαὶ συρόμενα· αὐτὰ δὲ τῶν τε φαύλων καὶ τῶν περισπουδάςων τοῖς ἄλλοις μηδαμῶς ἐπιςρεφόμενοι, ἀλλ' ἄνω ποι ἐν τῇ ἀκρωρείᾳ τῶν ἀρετῶν ἱδρυμένοι, ἔν τε τοῖς κατ' ἀρετὴν πόνοις πάντοτε νεαροὶ καὶ ἀκμάζοντες διατελοῦντες, ἅτε τῆς ἀνδρείας καὶ ἀῤῥενότητος αὐτάρκη παρεχομένων δύναμιν, ἥπερ τῷ ἀπλέτῳ ἔρωτι τοῦ ἀγαθοῦ οἷον ὑπεκκαύματι διηνεκῶς ἀναζωογονουμένη, οὐδέποτε σβέννυται.

Ἔςι δὲ ἀληθὴς ἀνδρεία ἡ πάντοτε πραγματευομένη τὰ θεῷ ἀρέσκοντα, τὰ εἰς δόξαν αὐτοῦ τείνοντα, τὰ κοινῇ συνοίσοντα. οἱ δὲ τὰς ἰδίας ὠφελείας μαςεύοντες, καὶ δι' αὐτὰς κινδυνεύοντες, τῶν δὲ ὄντως καλῶν ὀλιγώρως ἔχοντες, ὤνιοί τινές εἰσι, καὶ βάναυσοι, τυφλώττοντες περὶ τὴν κρίσιν τοῦ ἀληθῶς καὶ ὄντως καλοῦ. οὐκοῦν τῇ ἀσφαλεῖ ἀνδρείᾳ ἐπανθεῖ τὸ ἁπλοῦν, τὸ ἀκέραιον, τὸ εἰλικρινές, τὸ αὔταρκες, τὸ ἀκενόδοξον, τὸ ἀφιλοχρήματον, τὸ φιλοδίκαιον, τὸ πρᾶον, καὶ τὸ φιλάνθρωπον. Τοιοῦτος ἦν ὁ θεσπέσιος Δαβίδ, ἀπειλεῖ μὲν τῷ ἀχαρίςῳ Νάβαλ, ὃς καὶ τῆς γυναικὸς μαρτυρούσης, φθέρος

βασιλ. ά. κεφ. κέ.

defeſſo munus & officium peragentes, alacriter & prompte aggredientes quæ aggredienda, atque maſculo animo tolerantes quæ ratio ſuadet, & velut ab aliqua ſpecula inſpectantes ea quæ humi trahuntur: prava iſta & vilia, ac tantopere aliis expetita minime curantes, ſed ſublime in vertice quodam virtutum collocati, inque laboribus virtutis ſemper recentes ac vegeti permanentes, utpote fortitudine & virilitate ſufficientes prebente vires, quæ ingenti amore honeſti quaſi fomite aſſidue vivificata, nunquam extinguitur.

Eſt autem vera fortitudo quæ ſemper procurat Deo placentia, in gloriam ejus tendentia, publice profutura. Ii vero qui propria emolumenta quærunt, ac propter illa periclitantur, vere autem bona & honeſta negligunt, venales quidam ſunt & operarii, cæcutientes in dijudicatione vere & reipſa boni. Certæ igitur fortitudini inhæret ſimplicitas, vanæ gloriæ & opum contemptus, juſtitiæ amor, manſuetudo & humanitas. Talis erat divinus ille David, minatur quidem ingrato Nabal, qui etiam uxore

ἦν καὶ λοιμός· καὶ τοῦτο γὰρ μεγαλοψυχίας δεῖγμα, τὸ τοὺς ἀχαρίστους δίκας ἀπαιτεῖν· ἀλλὰ ἀνδρείας γυναικὸς μειλιχίοις ῥήμασιν αὐτίκα τῆς ὀργῆς καθυφίησι, καὶ τὴν ἔμφυτον ἐπιδείκνυται πραότητα. καὶ τὸ μὲν ἀλλόφυλον καταστρέφων, σύγκρατον δείκνυσιν
„ ὁ Δαβὶδ ἀνδρεία τὴν φρόνησιν, καὶ ἄνδρα καὶ γυναῖκα οὐκ ἐζωογόνησα Βασ. α. κεφ. κζ'.
„ τοῦ εἰσαγαγεῖν εἰς Γὲθ, λέγων, μὴ ἀναγγείλωσιν εἰς Γὲθ καθ' ἡμῶν λέγοντες, τάδε Δαβὶδ ποιεῖ. Ἐνίοτε γὰρ ἡ στρατηγικὴ περίνοια ὑπὲρ τῆς τῶν οἰκείων ἀσφαλείας οὐ ξυγχωρεῖ τὸ φιλάνθρωπον. Φύλαξ
„ δὲ δικαιοσύνης ἡ ἀληθὴς ἀνδρεία. καὶ τίς ἐπακούσεταί, φησιν, κεφ. λ'.
„ ὑμῶν τῶν λόγων τούτων; διότι κατὰ τὴν μερίδα τοῦ κατα-
„ βαίνοντος εἰς τὸν πόλεμον, οὕτως ἔσται ἡ μερὶς τοῦ καθημένου
„ ἐπὶ τὰ σκεύη, κατὰ τὸ αὐτὸ μεριοῦνται. καὶ ἐν ἁπλότητι γνώμης συνεκστρατεύεται Δαβὶδ μετὰ τοῦ βασιλέως ᾧ ἐδούλευε τοτη-
„ νικαῦτα. καὶ εἶπε Δαβὶδ πρὸς Ἀγχοῦς, τί πεποίηκά σοι; καὶ τί κεφ. κθ'.
„ εὗρες ἐν τῷ δούλῳ σου ἀφ' ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας
„ ταύτης; ὅτι οὐ μὴ ἔλθω πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ
„ βασιλέως;

testante, erat iniquus, labes & pestis: nam est magnanimitatis indicium etiam ab ingratis pœnas poscere; verum fortis mulieris blandis verbis statim iram remittit, ac innatam ostendit mansuetudinem. Atque Philistinos quidem delens David temperatam declarat fortitudine prudentiam, * *Virum & mulierem non vivificavi, nec adducebam in Geth, dicens, ne forte loquantur adversum nos: Hæc fecit David.* Interdum enim imperatoria sagacitas propter securitatem suorum, humanitatem non admittit. Est autem vera fortitudo custos justitiæ. *Nec audiet*, inquit, 1. Reg. 30, 24.
vos quisquam super sermone hoc. Æqua enim pars erit descendentis ad prælium, & manentis ad sarcinas, & similiter divident. Atque in expeditionem etiam exit David, sincero animo, cum rege cui tunc serviebat. * 1. Reg. 27, 11.
Dixitque David ad Achis: Quid enim 1. Reg. 29, 8.
feci, & quid invenisti in me servo tuo a die in qua fui in conspectu tuo, usque in diem hanc, ut non veniam, & pugnem contra inimicos domini mei regis?

Ἴδιον

Ἴδιον δὲ ἀνδρείας τὸ περὶ μεγάλων ἔργων, μεστῶν δὲ κινδύνων διαπονεῖσθαι καὶ ἀνδραγαθίζεσθαι, ὡς ὁ θεόπτης Μωϋσῆς τὸν τοῦ θεοῦ λαὸν δουλείας ἐξαίρων, ἐν αὐτοῖς προοιμίοις ἐπεδείξατο τὸ μετὰ φρονήσεως γενναῖον τῆς ψυχῆς παράστημα, καὶ τὸ μετὰ δικαιοσύνης ἀνδρεῖον, τί γὰρ δικαιότερον τοῦ μὴ περιορᾶν τὸν ἀδελφὸν ὑβριζόμενον, ἀλλὰ γενναίως αὐτῷ ἐπαμῦναι τὸν ἀδικοῦντα πατάξαντα; ἀλλ' ὅμως καίτοι ἡρωϊκοῦ θυμοῦ πλήρης, οὐδ' ἐν ἀκμῇ τοῦ ἔργου ἀμνημονεῖ τῆς φρονήσεως. *Ἐξοδ. κεφ. β'.* περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα, καὶ πατάξας « τὸν αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. ἔμφρων γὰρ ἀνδρεία καὶ « μετὰ τὸν θρίαμβον οὐ δὲ τὸ πτῶμα περιορᾷ. Τοιοῦτος ἦν καὶ ὁ δίκαιος Ἰώβ. ὃς ἐν μὲν εὐτυχίᾳ, θάτερον τῆς ἀνδρείας μέρος μετῆλθεν, ὡς *Ἰωβ. κεφ. κθ'.* αὐτὸς περὶ ἑαυτοῦ φησι, διέσωσα πτωχὸν ἐκ χειρὸς δυνάστου, καὶ « ὀρφανῷ ᾧ οὐκ ἦν βοηθὸς ἐβοήθησα. εὐλογία ἀπολλυμένου ἐπ' ἐμὲ « κατήντα. ἤμην πατὴρ ἀδυνάτων. συνέτριψα μύλας ἀδίκων, ἐκ μέσου « τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξήρπασα. τὸ γὰρ ἐν οἷς δέον μὴ « ὀργίζεσθαι, ἀλλ' εἰς νόθον πραότητα καλλωπιζόμενον, ἀποῤῥαθυμεῖν, καὶ περιορᾶν προπηλακιζόμενον καὶ ἑαυτὸν καὶ τοὺς οἰκείους, ἠλίθιου

Sed proprium est fortitudinis circa res magnas periculique plenas elaborare ac facinora edere, ut Moyses, qui Deum vidit, servitute eximens populum Dei, in ipso primordio ostendit prudentiæ conjunctam generosam animi præsentiam, & associatam iustitiæ fortitudinem. Quid enim justius quam non negligere fratrem qui patitur injuriam, sed fortiter ei opitulari, percutiendo lædentem? verumtamen quamvis Heroica animositate plenus, nec in ipso facti vigore immemor est prudentiæ. *Exod. 2, 12.* *Cumque circumspexisset huc atque illuc, & nullum adesse vidisset, percussum Ægyptium abscondit sabulo.* Cordata enim fortitudo nec post victoriam negligit cadaver. Talis erat justus Job, qui in statu felicitatis alteram fortitudinis partem persecutus est, ut ipse de se ait; *Job. 29, 12.* * *Liberavi pauperem e manu potentis, & pupillum cui non erat adjutor. Benedictio perituri super me veniebat. Pater eram pauperum. Conterebam molas iniquorum, & de dentibus illorum auferebam prædam.* Namque iram non concipere ubi opus, verum ad spuriam mansuetudinem sese componendo desidere, ac pati contumeliose haberi & se suos,

καὶ

καὶ ἀνδραποδῶδές ἐστι. δυστυχίαις δὲ περιπαρεὶς ὁ δίκαιος, καὶ θάτερον γενναιότητος μέρος τὴν μέχρι θαύματος ἐν δεινοῖς καρτερίαν ἐξήσκησε, καὶ οὐδὲν τῆς ἑαυτοῦ ζωῆς μέρος ἔρημον ἀνδρείας παρέδραμεν. μηδὲν δὲ μᾶλλον ἀπέοικε τῇ ἀνδρείᾳ τῆς φιλοχρηματίας, ἥτις ἐστὶ νόσος ἀγελαίου ψυχῆς. τὸ δ' ἀκραιφνῶς μεγαλόψυχον ἀπουσίᾳ μὲν πλούτου ἥκιστα λυπεῖται, παρόντι δὲ αὐτῷ χρῆται μετὰ μεγαλοπρεπείας. πόῤῥω δὲ ἀνδρείας, καὶ τὸ περὶ δυναστείας λίχνον καὶ ἐμμανές. „ μὴ ἔμπιπτε, φησιν, ἵνα μὴ ἀπωσθῇς, καὶ μὴ μακρὰν ἀφιστῶ, ἵνα „ μὴ ἐπιλησθῇς. ὁ γὰρ μετὰ φρονήσεως μεγαλόψυχος, θεοῦ μὲν εἰς ἀρχὴν καὶ πραγμάτων διοίκησιν καλοῦντος, ὑποκλίνει τὸν αὐχένα, εὐεργετεῖ τὸ ὁμόφυλον, ἀλλὰ ἀνακεράννυσι τῷ ἀρχικῷ καὶ γενναίῳ τοῦ φρονήματος, τὸ μέτριον, καὶ πρᾶον, καὶ συγγνωμονικόν· οὐ σφριγᾷ, οὐδὲ σφαδάζει, εἰκῇ οὐ πλήττει, οὐ δάκνει τοὺς ὑπ' αὐτόν. ἐνίοτε δὲ περιουσίᾳ φρονήματος, παραιτεῖται τὸν ὄγκον τῆς ἀρχῆς οὕτω δεῆσαν, οὐ μενοῦν γνώμης χαυνότητι, ἀλλὰ ψυχῆς γενναιότητι εἰς ἑαυτὸν συνειλούμενος, θεωρίᾳ τε σχολάζων, καὶ μόνῳ θεῷ τῷ ὑψίστῳ δουλεύων. Σειρ. κεφ. ιγ.

ſtolidum eſt & ſervile. Calamitatibus autem circumvallatus juſtus, etiam alteram fortitudinis partem, tolerantiam in ferendis malis admirandam, excercet, nullaque vitæ ejus pars virtutis expers præterlabitur. Ceterum nihil tam diſſimile eſt generoſitati quam avaritia, quæ eſt debilitas plebejæ ac vulgaris animæ. At vera magnanimitas, ſi deſint divitiæ, minime triſtatur, ſi adſint, utitur iis magnifice. Longe etiam diſſidet a fortitudine, infurioſa dominandi libido, * *Noli te ingerere, ne repellaris; noli etiam longe abſiſtere, ne oblivioni tradaris.* Is enim qui prudentiæ junctam habet magnanimitatem, Deo quidem vocante ad imperium & rerum adminiſtrationem, ſubmittit cervicem, bene meretur de gentilibus ſuis, temperatque principalem ac generoſam magnanimitatem moderatione, lenitate, & ignoſcendi facilitate; non luxuriat nec inſolenter ſe gerit, temere plagas non ingerit, non infeſtat ſubjectos. Aliquando etiam abundantia magnanimitatis recuſat faſtum principalem molemque imperii, re ita ferente, non mentis quadam laxitate, ſed animi generoſitate, qua ſeſe involvit, contemplationibus vacans, & Deo altiſſimo

* Eccleſiaſtici 13, 13.

G καὶ

ψαλ. ρϛ´. καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν. ἐν δὲ ταῖς ἀρχαῖς, φυλακτέον καὶ „ μάλα τὸ ὀξύθυμον καὶ θηριῶδες, ἀσκητέον δὲ πρᾳότητα, ἀλλὰ πρᾳότητα ἀνδρὶ φρονίμῳ καὶ γενναίῳ προσήκουσαν. πρᾶος γὰρ ὅ, τε συγγνώμην ἀπονέμων ἐν δέοντι, καὶ πάλιν ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ ἐφ᾽ οἷς δεῖ ὀργιζόμενος. τὸ γὰρ πικρὸν καὶ δυσδιάλυτον εἶναι, περιφέροντα καὶ θάλποντα τὴν ὀργὴν, τῷ τε ὑπηκόῳ καὶ τοῖς ὁμοδιαίτοις, ἀφόρητον. δεῖ ἄρα ὀργιζόμενον καὶ κολάζοντα, μιμεῖσθαι τοὺς ἀρίστους τῶν ἰατρῶν, κατάλληλα ὀρέγοντας τῷ νοσοῦντι φάρμακα, καὶ πεφεισμένως χρωμένους πυρὶ καὶ σιδήρῳ. τὸ γὰρ αὐθημερὸν αὐτοσχεδιάζειν τὰ τῆς θεραπείας, ἐν τοῖς ὀξυτάτοις μόνον τῶν νοσημάτων ἔχει λόγον.

*Ἱπποκ. ἄλλως γὰρ δοτέον τὶ καὶ τῷ ἔθει, καὶ τῇ χώρῃ, καὶ τῇ „ ἡλικίῃ. καὶ μὴ μόνον κατὰ καιρὸν εἰρήνης, ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ πρὸς τὸ ἀντίπαλον μεμνῆσθαι προσήκει τῶν καθηκόντων, διακρίνοντα καιρὸν, καὶ τόπον, καὶ πρόσωπον, μηδ᾽ ἀνεξετάστως ἀπατώμενον τῷ δοκοῦντι συμφέροντι. τοῦτο χαρακτὴρ ἀνδρείας καὶ μεγαλοψυχίας, τοῦτο χρῶμα ψυχῆς ἡρωϊκῆς, τὸ καὶ ἐν ἀκμῇ τῶν πραγμάτων ἐπι-

Psal. 106, 30. serviens, *Et lætati sunt, quia quieverunt.* In Imperio autem & magistratu vel maxime cavendum ab excandescentia & feritate; exercenda potius clementia, sed clementia viro prudenti ac generoso conveniens. Clemens enim est is qui ignoscit veniamque dat in quibus rebus oportet, & ita ut oportet, & quando oportet, qui etiam succenset ob quæ par est. Nam acerbum esse & ægre reconciliabilem, circumferendo & fovendo iram adversus subjectos & domesticos, intolerabile est. Oportet ergo in succensendo & puniendo imitari præstantissimos medicorum, qui congrua & idonea porrigunt ægrotanti medicamenta, ac parce utuntur igne & ferro. Nam extempore præcipitare curationem in acutissimis solum morbis est rationi consentaneum.

*Hippocr. * *Nam alioqui dandum aliquid consuetudini, & loco, & tempori, & ætati.* Ac non solum pacis tempore, verum etiam in bello & adversus hostes meminisse officiorum convenit, discernendo tempus, locum & personam, neque inconsulte decipi apparenti commodo. Hæc est vera fortitudinis ac magnanimitatis nota, hæc tinctura Heroicæ animæ, in ipso etiam puncto & cardine re-

τυγχάνειν τοῦ δέοντος, καὶ ἑαυτοῦ νικητὴν ἀναφαίνεσθαι μὴ προδιδόντα τὴ ἐπιβάλλον.

Τοιοῦτος ἦν ὁ ἐπὶ ἀνδρείᾳ, καὶ φρονήσει, καὶ πραότητι περίβλεπτος Δαβίδ. ἐφείσατο γὰρ τοῦ βασιλέως Σαοὺλ καὶ ἐν τῷ σπηλαίῳ, καὶ ἐν τῇ παρεμβολῇ, καίτοι εἰς ἄμυναν αὐτὸν ὀτρυνόντων τῶν μετ' αὐτοῦ. καὶ μέμνηται ὁ ψήφῳ θεοῦ εἰς βασιλέα ἤδη χειροτονηθεὶς τῶν
„ βασιλέως δικαιωμάτων. καὶ μηδαμῶς μοι, φησὶ, παρὰ κυρίου, εἰ βασιλ. α. κεφ. κδ'.
„ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ κυρίου, ἐπενέγκαι χεῖρά
„ μου ἐπ' αὐτὸν, ὅτι χριστὸς κυρίου ἐστὶν οὗτος. ἐχθρός ἐστιν, ἀντίπαλός κεφ. κς'.
„ ἐστιν, ἀλλὰ βασιλεὺς, ἀλλὰ κύριος, ἀλλὰ χριστὸς κυρίου. τίς ἐποίσει
„ χεῖρα αὐτοῦ ἐπὶ χριστὸν κυρίου καὶ ἀθωωθήσεται;

Πολυθρύλλητος δὲ καὶ ἡ τοῦ Σαμψὼν ἀνδρεία, καὶ κατὰ τὴν παροιμίαν, * κωφὸς ἂν εἴη ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλοι. δίδωσι δὲ θεὸς γενναῖον γόνον σώφρονι καὶ στείρᾳ μητρὶ, ἅπαξ καὶ δὶς ἐπι-
„ τάξας δι' ἀγγέλου καὶ τὴν περὶ τὴν δίαιταν σωφροσύνην. καὶ ὤφθη κριτ. κεφ. ιγ'.
„ ἄγγελος κυρίου πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐτὴν, ἰδοὺ σὺ στεῖρα,
„ καὶ οὐ τέτοκας, καὶ συλλήψῃ υἱόν. καὶ νῦν φύλαξαι δὴ, καὶ μὴ πίῃς

tum invenire quod ſit conveniens, ac ſui ipſius victorem apparere, haud deſerendo officium.

Talis erat David ille, fortitudine, prudentia & manſuetudine conſpicuus. Pepercit enim regi Saul, & in ſpelunca, & in caſtris, quamvis ad ultionem eum inſtigantibus ſociis. Atque rex deſignatus decreto Dei, meminit jura regis. **Propitius ſit mihi*, inquit, *Dominus*, *ne faciam hanc rem Domino meo, chriſto Domini, ac mittam manum in eum, quia chriſtus Domini eſt*. Inimicus eſt, adverſarius eſt; ſed Rex, ſed Dominus, ſed chriſtus & unctus Domini. *Quis enim extendet manum ſuam in chriſtum Domini, & innocens erit?* 1. Reg. 26, 9.

Sed celebris eſt & Samſonis fortitudo, atque ſecundum proverbium, Mutus ſit oportet qui Herculi os non accommodet. Dat autem Deus generoſam ſobolem pudicæ ac ſterili matri, ſemel iterumque imperata *1. Reg. 24, 7.
per Angelum temperantia circa diætam. *Cui apparuit Angelus Domini, & dixit ad eam: Sterilis es & abſque liberis: ſed concipies & paries filium: cave ergo ne bibas vinum* Judic. 13, 13.

οἶνον

οἶνον καὶ μέθυσμα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον. ἐπειδὴ δὲ τῶν "
ἀρετῶν ἡ μία τῆς ἄλλης ἐξήρτηται, ἡ τὸν γεννάδα Σαμψὼν φύσασα,
καὶ ἐξαισίῳ ἀνδρείᾳ ἐκεκόσμητο, ὥστε τῇ συγκεράτῳ εὐσεβείᾳ καὶ
φρονήσει, μεγαλοψυχίᾳ, ἀναστηρίζειν καὶ παραμυθεῖσθαι καταπεπληγ-
κριτ. ιγ'. κότα τῷ δέει τὸν ὁμόζυγον. καὶ εἶπε Μανωὲ πρὸς τὴν γυναῖκα αὐτοῦ, "
θανάτῳ ἀποθανούμεθα, ὅτι θεὸν εἴδομεν. καὶ εἶπεν αὐτῷ ἡ γυνὴ "
αὐτοῦ, εἰ ἤθελεν ὁ Κύριος θανατῶσαι ἡμᾶς, οὐκ ἂν ἔλαβεν ἐκ χειρὸς "
ἡμῶν ὁλοκαύτωμα καὶ θυσίαν. ἐπιδιδούσης δὲ ἅμα ἡλικίᾳ τῆς "
κεφ. ιδ'. ἀνδρείας, ὁ γενναῖος Ἥρως συνέτριψε σκύμνον λέοντος ὠρυομένου ὡσεὶ "
συντρίψει ἔριφον αἰγῶν. καὶ ἰδοὺ συναγωγὴ μελισσῶν ἐν τῷ στόματι "
τοῦ λέοντος καὶ μέλι, καὶ ἐξεῖλεν αὐτὸ εἰς χεῖρας αὐτοῦ, καὶ ἐπορεύετο "
πορευόμενος καὶ ἐσθίων. τὰ γὰρ ἀπρόσιτα τὸ πρὶν, καὶ οἷς οὐκ ἄν τις
μηδὲ προσπελάσαι τολμήσειεν, ὑπὸ τῆς ἀνδρείας ἐξημερούμενα,
ἀνεῖται ταῖς χρείαις τῶν ἀνθρώπων, τοὺς ἀπὸ γεωργίας καὶ μελιττουρ-
γίας γλυκυτάτους ἀναφύοντα καρποὺς, οἷς οἱ γενναίως ἀθλήσαντες
εὐφραίνονται. καὶ εἰς τοῦτο ἄρ' ἠνίττετο τὸ πρόβλημα, ὅτι ἀπὸ ἰσχυροῦ
γλυκὺ ἐξῆλθε. μέλιτος γὰρ γλυκύτεροι οἱ ἀπὸ ἀνδρείας παντοδαποὶ

ac quicquid inebriat, nec immundum quidquam comedas. Quoniam autem una virtus ex alia pendet, fortis Samsonis genitrix ornata etiam fuit ingenti fortitudine, ita ut mista pietati prudentia & magnanimitate confirmaret ac solaretur consternatum timore conjugem, (Judic. 13, 22.) *Et dixit Manue ad uxorem suam: Morte moriemur, quia vidimus Deum. Cui respondit mulier: Si Dominus nos vellet occidere, de manibus nostris holocaustum & libamenta non suscepisset.* Crescente autem cum ætate fortitudine, (Judic. 14, 6. 8. 9.) strenuus ille Heros *dilaceravit catulum leonis rugientis, quasi hædum in frustra discerpens. Et ecce examen apum in ore leonis erat ac favus mellis. Quem cum sumpsisset in manibus, comedebat in via.* Inaccessa enim prius & quibus nec appropinquare quis auderet, a fortitudine mansuefacta, permittuntur usibus hominum, dulcissimos agriculturæ & mellificii producentia fructus, quibus ii qui strenue certarunt, delectantur. Atque hoc subindicabat problema: *De forti egressa est dulcedo.* Melle enim dulciores sunt varii fortitudinis

καρποί.

καρποί. ἐπειδὴ δὲ τὸ μεγαλόψυχον εἴωθε καταφρονεῖν τῶν ὑποδεεστέρων καὶ ἐν ὑπωρείᾳ που κειμένων, μὴ δ' ἐξισχυόντων εἰς τὸ ὕψος τῆς ἀρετῆς ἀναβλέψαι, διὰ τοῦτο οἱονεὶ παιδιαῖς καταθριαμβεύειν φιλεῖ τῶν τοιούτων τοῖς στρατηγήμασι, καὶ σκέμμασι, καὶ ταῖς λεπτοτέραις
„ ἐπινοίαις. καὶ ἐπορεύθη Σαμψὼν, καὶ συνέλαβε τριακοσίας ἀλώπε- κριτ. κεφ. ιε.
„ κας, καὶ ἔλαβε λαμπάδας, καὶ ἐπέστρεψε κέρκον πρὸς κέρκον, καὶ
„ ἔθηκε λαμπάδα μίαν ἀναμέσον τῶν δύο κέρκων, καὶ ἔδησε, καὶ ἐξέ-
„ καυσε πῦρ ἐν ταῖς λαμπάσι, καὶ ἐξαπέστειλεν ἐν τοῖς στάχυσι τῶν
„ ἀλλοφύλων, καὶ ἐκάησαν ἀπὸ ἅλωνος καὶ ἕως σταχύων ὀρθῶν, καὶ ἕως
„ ἀμπελῶνος, καὶ ἐλαίας. καὶ ἡ μὲν φιλανθρωπία καὶ ἠπιότης, τοῖς χεῖρας προτείνουσι, καὶ συγγνώμην αἰτουμένοις ὀφείλεται· τοῖς δὲ κατὰ
„ τῶν ὑπερεχόντων θρασυνομένοις, ἔξεστι λέγειν τὸ, ὃν τρόπον ἐποίησάν μοι,
„ οὕτως ἐποίησα αὐτοῖς. οἱ γὰρ πάτταλοι * τοῖς παττάλοις ἐκκρούονται, καὶ θεός ἐστιν ὁ πολεμῶν, καὶ διὰ τῶν εὐτελεστάτων καταβάλλων τοὺς
„ ἐμποδὼν ἱσταμένους ἥρωϊ, ὃν ὑψίστου χεὶρ ἐκράτυνε. καὶ εὗρε σιαγόνα ὄνου
„ ἐξερριμμένην, καὶ ἐπάταξεν ἐν αὐτῇ χιλίους ἄνδρας. καὶ εἶπε Σαμψὼν,
„ ἐν σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς. καὶ τοῦτο δὲ ἥρωος

fructus. Quandoquidem autem magnanimitas solet contemnere inferiora & in depresso alicubi jacentia, neque valentia ad sublimitatem virtutis suspicere; idcirco quasi joco de talibus triumphare solet, stratagematis, consiliis & commentis exilioribus. * *Perrexitque Samson & cepit trecentas vulpes, caudasque earum junxit ad caudas, & faces ligavit in medio: quas igne succendens dimisit, ut huc illuc discurrerent, quæ statim perrexerunt in segetes Philistinorum. Quibus succensis, & comportatæ jam fruges & adhuc stantes in stipula concrematæ sunt, in tantum, ut vineas quoque & oliveta flamma consumeret.* Et humanitas quidem ac lenitas, manus protendentibus veniamque petentibus, debetur; at ferocientibus contra superiores, fas est dicere: *Sicut fecerunt mihi, sic feci eis.* * Judic. 15, 4. Clavi enim clavis eliduntur. v. 11. Atque Deus est qui oppugnat, & per vilissima prosternit eos qui obsistunt heroi, quem manus Altissimi corroboravit. v. 15, 16. *Inventamque maxillam asini, quæ jacebat, arripiens, interfecit in ea mille viros. Et ait Samson, in maxilla asini delevi eos.* Herois etiam

χαρακτὴρ, εἰδέναι ὅρον ἀνδρείας, καὶ ἐνώπιον θεοῦ ταπεινοῦσθαι, καὶ φοβεῖσθαι ἃ δέον φοβεῖσθαι. καὶ ἐδίψησε σφόδρα, καὶ ἔκλαυσε πρὸς " κύριον. ἀλλὰ τὴν ἀξιάγαστον ἀνδρείαν ἣν ἐγέννησε καὶ ἔθρεψε σωφροσύνη, κριτ. κεφ. ιϛ´. ἡ ἀκολασία ἐκνευρίσασα κατέβαλε. καὶ ἐπορεύθη Σαμψὼν εἰς " Γάζαν, καὶ εἶδε γυναῖκα πόρνην, καὶ εἰσῆλθε πρὸς αὐτήν. καὶ ἐγένετο " μετὰ τοῦτο, καὶ ἠγάπησε γυναῖκα ἐν Ἀλσωρὴχ, καὶ ὄνομα αὐτῇ " Δαλιδὰ, καὶ ὠλιγοψύχησεν ἕως τοῦ ἀποθανεῖν. τοῦ θεοῦ δὲ πάλιν " φιλανθρωπευομένου, ἀναζῇ παραυτίκα τὰ ἐναποκείμενα τῆς μεγαλοψυχίας ζώπυρα, καὶ ἀναλάμπει ἡ ἁπάσης ἀνδρείας κορωνίς. ἵνα γὰρ δοξασθῇ θεὸς, καὶ χειρὸς ἀλλοφύλου λυτρωθῇ τὸ ἐμόφυλον, εἶπε " Σαμψὼν, ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων. καὶ ἦσαν οἱ " τεθνηκότες, οὓς ἐθανάτωσε Σαμψὼν ἐν θανάτῳ αὐτοῦ, πλείους, ἢ οὓς " ἐθανάτωσεν ἐν τῇ ζωῇ αὐτοῦ. „

Οὐ μόνον δὲ ἐν πολέμῳ, ἀλλὰ καὶ κατὰ καιρὸν εἰρήνης ἡ ἀνδρεία διαλάμπειν εἴωθεν, ἥ τε δικαιοσύνη ἐπερείδεται τῇ ἀνδρείᾳ, καὶ ὅποσα καλὰ κἀγαθὰ ἡ φρόνησις ὑπαγορεύει, ὑπὸ τῆς ἀνδρείας περαίνεται. οἱ δὲ πολέμοις ἐντεθραμμένοι, πλούτῳ τε καὶ δόξῃ ἐναβρυνόμενοι,

nota eſt, noſſe modum fortitudinis, atque coram Deo humiliari, & timere quæ timenda. v. 18. *Sitiensque valde, clamavit ad Dominum.* * Judic. 16, 30. Verumenimvero admirandam hanc fortitudinem, quam genuit ac educavit pudicitia ac temperantia, protervia dejecit enervatam. Judic. 16, 1. 4. *Abiit quoque Samſon in Gazam, & ibi vidit mulierem meretricem, ingreſſusque eſt ad eam. Poſt hæc amavit mulierem quæ habitabat in valle Sorec, & vocabatur Delila. & defecit anima ejus, & ad mortem uſque laſſata eſt.* Sed Deo rurſum indulgente, mox reviviſcit interior magnanimitatis fomes, & emicat totius fortitudinis apex. Ut enim glorificetur Deus, & ab alienigenis liberetur gens ſua *ait* Samſon, * *moriatur anima mea cum Philiſtim: multoque plures interfecit moriens, quam ante vivus occiderat.*

Non ſolum autem in bello, verum etiam pacis tempore effulgere ſolet fortitudo, ipſaque juſtitia innititur fortitudini, & quidquid boni ac præclari prudentia ſuggerit, id a fortitudine peragitur. At bellis innutriti, opibusque & gloria inſo-

δυσχε-

δυσχεραίνουσι τῇ καταλύσει τοῦ πολέμου. ὅθεν πολλάκις μεγάλαι ἀπηντήκασι τοῖς βασιλεῦσι ζημίαι, τοῖς λαμπροῖς τῶν στρατηγῶν ἐγκεχειρικόσι τὰς ἡνίας τῆς ὅλης διοικήσεως, καὶ χρησαμένοις αὐτοῖς ὀργάνοις καὶ ἐν ταῖς περὶ εἰρήνην ὁμιλίαις καὶ ξυμβάσεσιν. οἱ γὰρ τοιοῦτοι ὑπὸ τοῦ πολέμου τρεφόμενοι, ἀμοιβαίως τρέφουσιν αὐτόν. καὶ ἢ διαδύσεσι καὶ μυρίαις σκήψεσιν ἐμποδὼν ἵστανται ταῖς σπουδαζομέναις ξυνθήκαις, ἢ ἐπὶ σαθροῖς θεμελίοις ἐποικοδομήσαντες τὴν μέχρις ὀνόματος εἰρήνην, ὁμωνύμοις καὶ ἀμφιβόλοις λέξεσι κατεθόλωσαν τὸ ὕφος τῶν περὶ ξυμβάσεων λόγων, καὶ ὑπόγειόν τινα θυρίδα καταλιπόντες ἑαυτοῖς, ἐκεῖθεν πάλιν παραπόδας ἀνεῤῥάγησαν καὶ εἰσέφρησαν εἰς τὸ τοῦ Ἄρεος στάδιον. οἱ φρονήσεως ἄρα πόῤῥω ἥκοντες βασιλεῖς, τῶν ἐπὶ στρατηγικῇ ἀνδρείᾳ βρενθυομένων οὐδὲν μεῖον τιμῶσι καὶ περιθάλπουσι τοὺς πολιτικῇ καὶ ἠρεμαίᾳ μεγαλοψυχίᾳ κεκοσμημένους. εἰ μὴ γὰρ τὰ πολέμῳ κτηθέντα, εἰρήνη διαυγάσασα, τὸ χρυσοῦν καὶ πρᾶγμα καὶ ὄνομα, κοσμήσει, ῥοῦν αἵματος ἀνθρωπίνου, ἀνδραποδισμοὺς, πόλεων ἀναστάσεις, ἀγρῶν ἐρημώσεις, καὶ οὐδὲν πλέον ἀποτέξει ὁ μαινόμενος Ἄρης. ἀμέλει ἡ μὲν τοῦ σώματος ἀδρεία ἔρημος

lescentes, offenduntur dissolutione belli. Unde sæpe magna obveniunt iis regibus detrimenta, qui illustribus belli ducibus commisere habenas universæ administrationis rerum, quive illis usi fuere instrumentis etiam in conventibus & transactionibus pacis. Tales enim quia bello aluntur, vicissim alunt bellum. Et aut effugiis, sexcentisque prætextibus impediunt fœdera & pactiones in quibus elaboratur, aut infirmis fundamentis inædificantes quandam nomine tantum pacem, æquivocis & ambiguis dictionibus turbulentum reddunt tenorem sermonum de pace componenda, atque subterranea quadam foricula relicta, e vestigio erumpunt, & in Martis curriculum illabuntur. Itaque sapientiores regum non minus honorant & fovent eos qui civili & sedata magnanimitate sunt ornati, quam alios imperatoria virtute superbientes. Nisi enim bello parta decus accipiant, exorta aurea, re & nomine, pace, non nisi torrentem sanguinis humani, captivitates, urbium eversiones, agrorum desolationes procreabit Martis furor. Nimirum fortitudo corporis

τῶν ἄλλων ἀρετῶν, ἔμπληκτον καὶ θηριῶδες. ἡ δὲ ἔνοπλος Ἀθηνᾶ παντὸς ἀγαθοῦ ταῖς πολιτείαις χορηγός. καὶ τὸ μὲν σῶμα, λιτῇ καὶ σώφρονι διαίτῃ, καὶ ταῖς καθ' ἡμέραν ἀσκήσεσιν, εἰς ἀνδρείαν ἐθιστέον, ἵνα μὴ διαῤῥέον χλιδῇ καὶ τρυφῇ, ὁπηνίκα πονεῖν δέῃ, ἀπαυδήσαν κακῶς ἀπαλλάξῃ· πολλῷ δὲ μᾶλλον ἀσκήσομεν τὴν τῆς ψυχῆς ἀνδρείαν, μὴ μόνον πλούτου, καὶ δόξης, καὶ τῆς ἄλλης ματαιότητος, τῆς ἀστάτου καὶ ἐφημέρου, νεανικῷ ὀλιγωροῦντες φρονήματι, ἀλλὰ καὶ τὴν ἔνδον ἐν τῇ ψυχῇ ἀνδρείαν μετιόντες, τὴν κατὰ τῶν παθῶν, θυμοῦ τε καὶ ἐπιθυμίας, φόβου τε καὶ λύπης, καὶ χαρᾶς, καὶ ἀνοσίων ἐρώτων. περιφέρομεν γὰρ ἐν τῇ καρδίᾳ δεινὰ θηρία, ὧν τὰ μὲν τιθασσεύειν δεῖ καὶ ὑποτάττειν τῷ λογισμῷ, τὰ δὲ ἀνασπᾶν πρόῤῥιζα, καὶ μηδενὸς καταφρονεῖν καί τοι ἀσθενοῦς εἶναι δοκοῦντος, οἷος ὁ φόβος, ὅς ἰός ἐστιν ἀνδρείας. ἡ μὲν γὰρ ἀνδρεία ὑποτίθεται ἡμῖν τὰ σωτήρια, καὶ τὰ εὐδοξίας καὶ εὐκλείας μεστά, γενναίως διακρουομένη, καὶ ὥσπερ ἱστὸν ἀράχνης διαλύουσα τὰ ἀμενηνὰ τῆς φαντασίας εἴδωλα, μὴ δὲ ξυγχωρεῖ λειποτακτῆσαι, βούλεται δὲ πάντως μένειν ἕκαστον ἐν ᾧ καὶ ἐκλήθη. εἰ στρατιώτης εἶ, φύλαττε, φησι, τὴν τάξιν, ἰδοὺ σοι «

destituta ceteris virtutibus, vecordia eſt & feritas; aſt armata Pallas omnis boni civitatibus ſubminiſtratrix. Atque corpus quidem tenui ac frugali victu quotidianisque exercitiis ad fortitudinem adſuefaciendum, ne luxu ac deliciis diffluens laboribus neceſſariis male defungatur; ſed multo magis exercebimus animi fortitudinem, non ſolum divitias & gloriam ceterasque inſtabiles & breves nugas maſculo animo contemnentes, ſed & internam in anima fortitudinem perſequentes adverſus affectus, iracundiam & concupiſcentiam, timorem & triſtitiam, & gaudia, atque impuros amores. Circumferimus enim in corde ſævas beluas, quæ partim cicurandæ ſunt & rationi ſubjiciendæ, partim extirpandæ, neque ulla negligenda, quamvis infirma videatur, qualis timor, qui ærugo eſt fortitudinis. Nam fortitudo quidem nobis ſuadet ſalutaria, bonæ famæ & gloriæ plena, & tanquam araneæ telam ſolvens inania imaginationis ſimulacra, neque tolerat deſertorem, ſed vult omnino manere quemque in eo ad qnod deputatus ex. Si es miles, ſerva, inquit, ordinem & ſtationem, *Ecce tibi*

δέδωκα

„ δέδωκα τὴν ἀσπίδα, ἢ τάν, * ἢ ἐπὶ τάν. κἂν εἴπῃς, ἀλλὰ πανταχόθεν
τιτρώσκουσιν, εὐψύχει, φησίν. ἀλλὰ τέτρωμαι, καρτέρει. ἀλλ' ἀπο-
ψύξω, οὐδὲν δεινόν. κρεῖττον γὰρ μένοντα θανεῖν μόνον, ἢ φεύγοντα
πολλοὺς συνεπισπάσασθαι. εἰ εἰς θάλασσαν εἰσέβης, φέρε, φησὶ, τὴν
τρικυμίαν. ἀλλὰ ναυτιῶ, ἔμεσον, ἀλλὰ κινδυνεύω, ῥῖψον τὸν πλοῦτον.
ἀλλὰ ναυαγῶ καὶ καταβυθίζομαι, καρτέρει, μὴ ὀλιγοψύχει, πίστευε,
οἱ πλείους γὰρ τῶν κινδύνων ἀῤῥωστούσαις ἐπιβάλλουσι διανοίαις. διὰ τοῦτο
„ ὁ δεσπότης πρὸς τὸν Πέτρον φησὶν, ὀλιγόπιστε εἰς τί ἐδίστασας; ὁ δὲ Ματθ. κεφ. ιδ'.
φόβος φιλάνθρωπος μὲν τὸ δοκεῖν· τῷόντι δὲ ἄρεσκος, καὶ κομιδῇ
κόλαξ καὶ ἐπίβουλος, τοῖς νεύμασιν ὑπείκων τῆς φαντασίας, σωμα-
τοποιῶν τὰς σκιὰς, ἀπαλλαγῆς ἐλπίδι εἰς ἀπωλείας ἄγων βάραθρον
τὸν αὐτῷ πειθόμενον. φείδου ψυχῆς φησιν, ἀπόδραθι. ἀλλὰ τὰ ὅπλα
„ βαρύνουσι, ῥῖψον αὐτά. ἀλλὰ λειποταξίου γραφὴν ἀποίσω, οὐδὲν δεινὸν,
„ ζῆθι μόνον κἂν μετ' ἀδοξίας.

Ἔστι δὲ καὶ ἕτερον ἔργον ἀνδρείας λαμπρὸν καὶ πολυτελὲς, ἡ τῶν
„ ἀρετῶν περιποίησις. ἔκκλινον γάρ, φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον Ψαλ. λγ'.
ἀγαθόν. οὐ μόνον τοίνυν ἐπιβάλλει τῷ ἀνδρείῳ τὸ μὴ ταράττεσθαι,

dedi clypeum, aut hunc, aut super hunc. Atque si dicas, sed undique sauciant. Sis bono animo, inquit. Sed vulneratus sum, obdura. Sed expirabo. Nihil mali, præstat enim manentem mori solum, quam fugientem plures una attrahere. Si mare ingressus es, perfer, inquit, fluctus decumanos. Sed nauseo. Vome. Sed periclitor. Abjice divitias. Sed naufragium patior & submergor. Durato, neu sis pusillanimis, crede; nam major pars periculorum languidos animos invadit. Idcirco Dominus Petro ait, * *Modicæ fidei, quare dubitasti?* Contra autem timor benignus & humanus quidem videtur, sed revera blanditur tantum & oppido adulatur, & insidiatur, nutibus cedens imaginationis, & umbras effingens in corpus, elabendi spe in perniciei voraginem ducens sibi obtemperantem. Parce animæ, inquit, effuge. Sed arma gravant. Abjice. Sed desertæ militiæ postulabor. Nihil mali, modo vivas quamvis in dedecore.

Est vero & aliud opus fortitudinis, illustre & copiosum, nempe virtutum acquisitio. *Diverte* enim, inquit, *a malo, & fac bonum.* Non igitur id solum competit forti, ut

* Matth. 14, 31.
Psal. 32, 15.

μηδὲ παραφέρεσθαι ταῖς τῶν παθῶν ἐπιδρομαῖς· ἀλλὰ δέον ἐστὶν οἷον ὑπουργοῖς χρῆσθαι τοῖς πάθεσιν ἐπὶ διαχειρήσει μεγάλων ἔργων. καὶ μάλιστα τοῖς ἐν πολιτείᾳ καὶ ἐν βασιλείοις αὐλαῖς ἀναστρεφομένοις, οἱονεὶ θερμουργοί τινες ὑπηρέται τὰ πάθη οὐκ ἐλαχίστης ὠφελείας γίνονται παραίτια. ἡ γὰρ αἰδοῦς λίαν πλήρης ψυχὴ ἀποτελευτῶσα, παντάπασιν ἀναπηροῦται. καὶ ὁ πολιτικὸς δριμύτητος καί τινος ἰταμότητος ὀξείας καὶ πρακτικῆς ἐνδεῖται, ὡς ὁ Πλάτων φησί. καὶ τοῦτο δή ἐστι τὸ μεγαλοπρεπέστατον ὕφασμα τὸ ἀμπίσχον τὰς εὐδαίμονας πόλεις, ἀνδρεία συγκεραννυμένη δικαιοσύνῃ, καὶ φρονήσει, καὶ σωφροσύνῃ.

Ἔστι δὲ ἀνδρείου καὶ τὸ ἐμμένειν τοῖς δόξασι, καὶ μηδέποτε φιλοψυχῆσαι καὶ παραιτήσασθαι τὰ προσήκοντα, καὶ τὸ παρασκευαστικὸν εἶναι τῶν δεόντων, καὶ προβλεπτικὸν τῶν μελλόντων. Μακάρ. περὶ φυλ. καρδίας κεφ. ς'. ὥσπερ γὰρ „ οἱ ἔξω ὀφθαλμοὶ βλέπουσι μακρόθεν τὰς ἀκάνθας καὶ τοὺς κρημνούς, „ οὕτω καὶ ὁ προβλεπτικὸς νοῦς προβλέπει ταχὺς ὢν τῆς ἀντικειμένης „ δυνάμεως τὰς τέχνας. νηπιῶδες γὰρ τὸ ἀπαράσκευον ὄντα ὑπὸ τῆς „ ἐφόδου τῶν δεινῶν παρασύρεσθαι, καὶ λέγειν, τοῦτο οὐκ ἐλογισάμην, *

ne turbetur, neque transversus rapiatur ab affectuum insultibus; verum oportet quasi ministris uti affectibus in peragendis magnis negotiis. Ac præcipue iis qui in Rep. & in aulis regum versantur, veluti fervidi quidam ministri, affectus haud minimæ utilitatis fiunt causæ. * Macar. de Cust. Cord. cap. 6. Nam verecundiæ nimis plena anima, ad postremum plane debilitatur. Opus autem viro politico acrimonia quadam & procacitate veloce atque agili, ut Plato ait. Atque hoc est textum illud magnificum quod vestit & continet fortunatas civitates, fortitudo inquam mista justitiæ, prudentiæ & temperantiæ.

Est etiam fortis viri, perseverare in proposito, nec unquam vitæ parcendo detrectare munia sua, atque etiam apparare necessaria posse, & futura prospicere. * *Sicut enim externi oculi longe prospiciunt spinas & præcipitia; sic provida mens, quæ velox est, prævidet adversariæ potestatis artificia & machinationes.* Puerile enim & stultum est, de gradu dejici ingruentibus malis, atque dicere, Non putaram, hoc non ex-

οὐ προσε-

ȣ̓ προσεδόκητα. τῆ τε δειλῆ ȣ̓δὲν ἧττον ἐπίμωμον τὸ ἰταμὸν καὶ ῥιψοκίνδυνον. ἐφεῖται γὰρ καὶ τῷ ἀνδρείῳ φοβεῖσθαι τὰ ὑπὲρ ἄνθρωπον κακὰ, οἷον σκηπτȣ̀ς, σεισμȣ̀ς, * θαλάσσης ἐκδρομάς. ὁ δὲ πρὸς τὰ τοιαῦτα νεανιευόμενος, μαινόμενος ἂν εἴη καὶ ἀνάλγητος. φοβεῖται δὲ ὁ ἀνδρεῖος καὶ ἀδοξίαν, καὶ δάκνεται, καὶ λυπεῖται, ἀλλ' ȣ̓χ ἡττᾶται ὑπὸ τῶν λυπηρῶν. ἐπιπολάζει δὲ ἐν τῷ βίῳ καὶ κίβδηλος ἀνδρεία, οἷον ἡ πολιτικὴ, ἥπερ ȣ̓ δι' αὐτὸ τὸ καλὸν, ἀλλὰ φόβῳ τῶν ἐκ τῶν νόμων ἐπιτιμίων, ἢ ἐλπίδι τιμῶν τὰ τῆς ἀνδρείας ῥαδιȣργεῖ. ἥ τε ἀνάγκη πολλάκις καὶ ἄκοντας διδάσκει ἀνδρείαν ἀσκεῖν, ἥ τε ἐμπειρία ὀλιγοχρονίȣ εὐτολμίας γίνεται διδάσκαλος. καὶ οἱ ἔρωτι καὶ θυμῷ μεθύοντες, ξίφȣς τε καὶ πυρὸς κατατολμῶσιν. οἵ τε ὄνοι πεινῶντες καὶ τυπτόμενοι, * ȣ̓κ ἀφίστανται τῆς νομῆς. ἀλλὰ τὰ τοιαῦτα, κίβδηλα ἀνδρείας ὀνόματα. ἐκείνη δὲ φυσικωτάτη καὶ κυρίως ἀνδρεία, ὅταν κινώμεθα ἐκ τȣ̃ θυμȣ̃, * ἀλλ' ἐκ προαιρέσεως, καὶ ἕνεκα τȣ̃ ἀγαθȣ̃, ὡς ὁ Ἀριστοτέλης φησίν. ἔνιοι δὲ τὸ ἔμπληκτον καὶ ἀπότομον, καὶ μάλιστα ἐν πολέμῳ, ἀνδρείαν ὀνομάζȣσιν. ὁ δὲ θεὸς ἐπιτάττει καὶ

ſpectaſſem. Eſtque nimia audacia & temeritas non minus vituperabilis, quam timiditas. Fas enim viro forti formidare mala hominem excedentia, veluti fulmina, terræ motus, maris effuſiones ac inundationes. Nam in talibus audaculum ſe præbens aliquis, inſanus foret ac ſenſus expers. Timet autem vir fortis etiam dedecus atque infamiam, & pungitur atque offenditur, ſed non ſuccumbit moleſtiis. Sæpe autem in hominum vita apparet adulterina quædam fortitudo, uti civilis, quæ non propter ipſum bonum aut honeſtum, ſed formidine pœnæ ac legum, aut ſpe honorum, utcumque defungitur munere fortitudinis. Atque non raro neceſſitas invitos docet exercere fortitudinem, & experientia temporariæ cujusdam audaciæ exiſtit magiſtra. Amore etiam & ira ebrii in ferrum ignemque audacter ruunt. Et aſini eſurientes, ne verberibus quidem a paſtu dimoventur. Sed hæc adulterina ſunt fortitudinis nomina; illa vero maxime naturalis ac genuina, proprieque eſt fortitudo, quando ira & affectu ciemur, ſed ſimul conſilio, bonique & honeſti cauſa, ut Ariſtoteles ait. Nonnulli autem furorem & crudelitatem, præcipue in bello, fortitudinem appellant; cum tamen Deus præcipiat etiam rebus inanimatis

κεφ. κ'. τῶν ἀψύχων ἐν πολέμῳ φείδεσθαι, ὡς ἐν Δευτερονομίῳ· ἐὰν δὲ περικαθίσῃς περὶ πόλιν μίαν, ἡμέρας πλείους, ἐκπολεμῆσαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς, ἐπιβαλεῖν ἐπ' αὐτὰ σίδηρον, ἀλλ' ἢ ἀπ' αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. καὶ « παροιμ. κεφ. ιβ'. ὁ Σολομὼν, δίκαιός, φησιν, οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ, ἡ γὰρ « ὠμότης ἀκροχορδὼν ἄντικρύς ἐστιν ἐν τῷ παγκάλῳ τῆς νίκης προσώπῳ. οὐ δὲ δεῖ προτείνειν ἃ εἰργάσατο ὁ Ἰησοῦς Ναυῆ τοῖς πέντε βασι- κεφ. ι. λεῦσι. προπορεύεσθε, καὶ ἐπίθετε τοὺς πόδας ὑμῶν ἐπὶ τοὺς τραχήλους « αὐτῶν. καὶ προσελθόντες ἐπέθηκαν τοὺς πόδας αὐτῶν ἐπὶ τοὺς « τραχήλους αὐτῶν. καὶ εἶπεν Ἰησοῦς πρὸς αὐτοὺς, μὴ φοβηθῆτε αὐτοὺς, « μηδὲ δειλιάσητε, ἀνδρίζεσθε, καὶ ἰσχύετε, ὅτι οὕτω ποιήσει Κύριος « πᾶσι τοῖς ἐχθροῖς ὑμῶν, οὓς ὑμεῖς καταπολεμεῖτε αὐτούς. καὶ « ἀπέκτεινεν αὐτοὺς Ἰησοῦς, καὶ ἐκρέμασεν αὐτοὺς ἐπὶ πέντε ξύλων. « ἄπλετος γὰρ ἐπενέμετο τότε φόβος τὰς τῶν Ἰουδαίων ψυχὰς, καὶ ἵνα εἰς τὸ ἀκατάπληκτον αὐτοὺς ἐθίσῃ, ἀπεχρήσατο οὕτω πως τοῖς ἑαλωκόσιν.

Ἀλλὰ τὰ τοιαῦτα μηδαμῶς ἕλκεται εἰς ὑπόδειγμα. θεὸς γὰρ τηνικαῦτα πολυχρονίου εἰδωλομανίας δίκας εἰσεπράξατο, καὶ θεοῦ

parcere in bello, ut in Deuterono-
cap. 20, 19. mio: *Quando obsederis civitatem multo tempore, & munitionibus circumdederis, ut expugnes eam, non succides arbores de quibus vesci potest, nec securibus per circuitum debes vastare regionem.* Et Salomon,
Prov. 12, 10. *Miseretur justus jumentorum suorum.* Crudelitas enim verruca plane est in pulcherrima victoriæ facie. Neque proponenda sunt quæ Josue
Josue 10, 24. fecit regibus illis quinque. *Ite, & ponite pedes super colla regum istorum. Qui cum perrexissent, & subjectorum colla pedibus calcarent, rursum ait ad eos: Nolite timere, nec paveatis, confortamini & estote robusti: sic enim faciet Dominus cunctis hostibus vestris, adversum quos dimicatis. Percussitque Josue & interfecit eos, atque suspendit super quinque stipites.* Ingens enim invaserat atque consumebat tunc timor Judæorum animos, atque ut imperterritos redderet, sic abusus est victis & captis.

Sed talia haudquaquam in exemplum trahuntur. Deus enim tunc diuturnæ idololatriæ pœnas poscebat, atque Deo imperante, divini

ἐπιτάτ-

ἐπιτάττοντος, οἱ θεσπέσιοι ἐκεῖνοι ἄνδρες φόνοις καὶ αἰκίαις ἐπεξῆλθον τοὺς εἰς ὕψος ἀνομίαν λαλοῦντας, διὰ πάσης δὲ τῆς ἱερᾶς γραφῆς παλαιᾶς τε καὶ νέας, ὁ Θεὸς ἐπαινεῖ, καὶ ἐπιτάττει τὸ πρᾶον, καὶ φιλάνθρωπον, καὶ ἀμνησίκακον, ἃ καὶ ἐν ταῖς πολιτείαις χορηγά
" εἰσι γαλήνης. μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμί, φησιν ὁ δεσπότης. καὶ Ματθ. κεφ. ιά.
" ὁ Σειράχ, τέκνον ἐν πραΰτητι δόξασόν τὴν ψυχήν σου. ἤθους δὲ κεφ. ί.
πικρότης, καὶ θυμοῦ ὀξύτης, καὶ ἀλαζονεία, καὶ αὐστηρότης, εἰς διχοστασίαν καὶ ἀλληλομαχίαν ἀναῤῥαγεῖσαι, ἀνατρέπουσι τὸ πολίτευμα. καὶ καθάπερ αἱ νῆες μακρὰ διαπερῶσαι πελάγη, τῇ ὁμονοίᾳ καὶ συμπνοίᾳ τῶν ἐν αὐταῖς πλεόντων εἰς σωτήριον λιμένα καθορμίζονται, κυβερνήτου τε, καὶ ναυκλήρου, καὶ ναυτῶν πραττόντων τὰ αὐτοῖς ἐπιβάλλοντα, καὶ ἥκιστα διασπώντων τὴν ἁρμονίαν· οὕτω κἀν ταῖς πολιτείαις ἑκάστου τὰ αὑτοῦ πράττοντος, μὴ παραπαίοντος φιλοπλουτίᾳ, φιλοδοξίᾳ, φθόνῳ μὴ παροινοῦντος, δουλεύοντος δὲ τῷ κοινῇ ξυμφέροντι, πολλή τις ἐπανθεῖ γαλήνη. ἔχει δὲ μεγάλην ἰσχὺν οὐ μόνον εἰς θήραν εὐνοίας, ἀλλὰ καὶ εἰς κατόρθωσιν ὁποιουοῦν ἐγχειρήματος ἐν

illi viri cædibus & afflictionibus persecuti fuere illos qui iniquitatem loquerentur in altum. Ceterum per totam Scripturam sacram tam veterem quam novam, laudat & imperat Deus mansuetudinem, humanitatem & ignoscentiam, unde & civitatibus subministratur pax & tranquillitas. * *Discite a me quia mitis sum*, inquit Dominus. & Sirach, ** *Fili, in mansuetudine serva animam tuam.* Morum autem acerbitas, excandescentia & insolentia & austeritas, in dissensionem & discordiam erumpentes, evertunt civitatem. Et quemadmodum naves quæ longa permeant maria, concordia & consensu navigantium in salutarem portum applicantur, gubernatore, nauclero & nautis facientibus sibi competentia, minimeque interrumpentibus ordinem congruum; sic & in civitatibus unoquoque suum munus peragente, neque deflectente atque aberrante per avaritiam aut ambitionem, neque per invidiam injurias faciente, sed serviente publicis commodis, magna existit pax & tranquillitas. Est vero magna vis non solum ad captandam benevolentiam, sed etiam ad peragendum quodvis nego-

* Matth. 17, 29.
** Ecclesiastici 10, 31.

ταῖς πολιτείαις τὸ εὐπρόσιτον, καὶ εὐόμιλον. τὸ δὲ δύσκολον καὶ μεμψίμοιρον, ἀνατρέπει οἴκους τε καὶ πόλεις.

Δεῖ δὲ ἐνίοτε (ὡς ἔφθημεν εἰπόντες) καὶ αὐστηρότητος, καὶ κέντρου, καὶ δριμύτητος τῆς ἀναχαιτιζούσης τὸ πρὸς μοχθηρίαν ἐπίφορον, καὶ τὸν κολάζοντα ὅμως καθαρὸν εἶναι προπηλακισμοῦ. τὸ δὲ τῶν Στωϊκῶν, λίθου ἂν εἴη οὐκ ἀνθρώπου, τὸ μηδόλως ὀργίζεσθαι. τοῖς γὰρ ἀσφαλῶς φρονοῦσι, τὸ, σώφρονι θυμῷ ἀποτροπιαζομένους τὴν μοχθηρίαν, καὶ ἐπιεικείᾳ κολάζοντας τὸ ἀπότομον τῶν νόμων, ἐπιβάλλειν τὰς ποινὰς, ἀρετῆς ὀνόματι κοσμεῖται.

Οὐ μόνον δὲ ἐν εὐτυχίαις ὁ ἀνδρεῖος πόῤῥω ἐστὶν ἀλαζονείας καὶ ὑπεροψίας, ἐν τῇ μεγαλοψυχίᾳ φυλάττων τὸ μέτριον τοῦ ἤθους, ἀλλὰ καὶ δεινοῖς περιπεσὼν, ἐπὶ τῇ ἀῤῥαγεῖ κρηπῖδι τῆς θείας προνοίας ἑδραῖος ἵσταται καὶ ἀκαταμάχητος. οἷος ἦν ὁ δίκαιος Ἰὼβ, ὁ μεγαλόψυχος ἀθλητὴς, γυμνὸς, λέγων, ἐξῆλθον ἐκ κοιλίας μητρός μου. γυμνὸς καὶ ἀπελεύσομαι, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο, ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. οἷος ἦν ὁ βασιλεὺς Δαβὶδ ὑπὸ τοῦ πενθεροῦ, ὑπὸ τοῦ υἱοῦ διωκόμενος, καὶ ἀλλεπαλλήλοις δεινοῖς οἱονεὶ κύμασι περικλυζόμενος,

Ἰὼβ. κεφ. α.

tium in civili ſocietate, comitatis & affabilitatis; moroſitas contra & duritia labefactat & familias & civitates.

Sed opus eſt quandoque, ut jam diximus, auſteritate & ſtimulo, & aſperitate etiam, quæ refrænet proclivitatem in malitiam; verum tamen etiam in puniendo, mundum eſſe oportet ab injuria & contumelia. At omnino non iraſci, quod Stoici volunt, lapidis, non hominis fuerit. In iis autem qui recte ſapiunt, ipſa etiam punitio, quam faciunt moderata ira deteſtantes malitiam, & æquitate coërcentes ſeveritatem legum, virtutis nomine decoratur.

Eſt vero fortis vir non ſolum in rebus proſperis remotus ab inſolentia & faſtu, in magnanimitate conſervans moderatos mores; verum etiam aſperis involutus, ſuper infracto divinæ providentiæ fundamento, firmus & inexpugnabilis ſtat. Qualis erat juſtus ille Job, magnanimus ille athleta, qui dicit: * *Nudus egreſſus ſum de utero matris meæ, & nudus abibo: Dominus dedit, Dominus abſtulit: ſicut Domino placuit, ita factum eſt.* Qualis etiam erat Rex David, qui nunc ſocero, nunc filio perſequente, crebris undique malis tanquam

* Job. 1, 21.

εἰς θεὸν

» εἰς Θεὸν ἀραρότως ἐλπίζων ἐβόα· ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμ- ψαλ. κς'.
» βολή, οὐ φοβηθήσεται ἡ καρδία μου. καί, κύριος ὑπερασπιστὴς
» τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; καὶ πάλιν, ἐὰν γὰρ καὶ πορευθῶ ψαλ. κβ'.
» ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.
οἷος ἦν ὁ Δανιήλ, οὗ τὸ γενναῖον αἰδεσθέντες οἱ λέοντες, κλίνοντες τοὺς
αὐχένας μονονουχὶ κατεφίλουν τοὺς πόδας αὐτοῦ. τοιοῦτοι οἱ τρεῖς παῖδες,
οἱ ἐν τῷ ἀκμάζοντι τῆς ἡλικίας εἰδότες Θεὸν γεραίρειν, καὶ ἄφρονος
» βασιλέως ὀλιγωρεῖν. τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι σου Δαν. κεφ. γ'.
» οὐ προσκυνοῦμεν. ἡ γὰρ ἀνδρεία ἐπὶ τῇ πέτρᾳ τῆς πίστεως, καταφρονεῖ
καὶ πυρὸς καὶ σιδήρου. πίστις καὶ ἀνδρεία καὶ τοὺς ἁγίους Μακκαβαίους Μακκ. βιβλ. β'. κεφ. ζ'.
» λαμπροὺς ἀνέδειξεν ἀθλητάς. τί μέλλεις ἐρωτᾷν καὶ μανθάνειν παρ'
» ἡμῶν; ἕτοιμοι γὰρ ἀποθνήσκειν ἐσμέν, ἢ παραβαίνειν τοὺς πατρίους
νόμους. καὶ ἐρίζουσι τὰ τέκνα τῇ μητρί, καὶ ἡ μήτηρ τοῖς τέκνοις ἐπὶ
» ἀνδρείᾳ καὶ μεγαλοψυχίᾳ. ὁ δὲ σοφὸς βασιλεύς, γυνὴ ἀνδρεία στέφανος παρι. ιβ'.
» τῷ ἀνδρὶ αὐτῆς εἰπών, εἰς τὴν σωφροσύνην αἰνίττεται. ἡ γὰρ γενναιότητι
καὶ μεγαλοψυχίᾳ τοὺς ἐπιβουλεύοντας τῇ σωφροσύνῃ ἀποσειομένη
γυνή, ἐκείνη τῷ ὄντι ἀνδρεία, καὶ στέφανος τῷ ἀνδρὶ αὐτῆς.

fluctibus inundatus, in Deum firmiter ſperans, clamabat: * *Si conſiſtant adverſum me caſtra, non timebit cor meum.* Item, *Dominus protector vitæ meæ, a quo trepidabo?* & rurſum, ** *Nam ſi ambulavero in medio umbræ mortis, non timebo mala: quoniam tu mecum es.* Qualis erat Daniel, cujus generoſitatem reveriti leones, inclinatis cervicibus, tantum non oſculabantur pedes ejus. Tales tres illi pueri, in flore ætatis docti Deum honorare, & inſipientem regem contemnere. *** *Deos tuos non colimus, & ſtatuam auream, quam erexiſti, non adoramus.* Fortitudo enim ſuper petra fidei ignem & ferrum contemnit. Fides & fortitudo etiam ſanctos Machabæos illuſtres reddidit athletas. *Quid quæris, & quid vis diſcere a nobis? parati ſumus mori magis, quam patrias Dei leges prævaricari.* Certantque filii cum matre & mater cum filiis de fortitudine & magnanimitate. Sapiens autem ille rex cum dicit, *Mulier fortis corona eſt viro ſuo,* innuit pudicitiam. Mulier enim generoſe & magno animo repellens eos qui pudicitiæ ejus inſidiant, vere fortis eſt, & corona viro ſuo.

* Pſ. 20, 3.
2. Machab. 7. 2.
** Pſ. 22, 4.
Prov. 2. 4.
*** Dan. 3, 18.

Περὶ

Περὶ Σωφροσύνης.

Κεφάλ. ιβ.

Τῆς δὲ ἱερᾶς τῶν γενικῶν ἀρετῶν τετρακτύος ἐστὶ καὶ ἡ σωφροσύνη, ἀρετὴ ὅσα τῦ ἐπιθυμητικῦ τῆς ψυχῆς μορίε, καθ' ἣν ἀνόρεκτοι γίνονται περὶ τὰς ἀπολαύσεις τῶν φαύλων ἡδονῶν. ὁ δὲ σώφρων ἐ μόνον πρὸς ἑαυτόν ἐστιν αὐστηρὸς, τὸ θηριῶδες τῆς ψυχῆς μέρος, τὸ λίχνον περὶ τὰς ἡδονὰς, καὶ τὴν ἄλλην φλυαρίαν οἱονεί τινι χαλινῷ τῷ λόγῳ ἀναχαιτίζων τῆς ἐπὶ τὸ χεῖρον φορᾶς· ἀλλὰ καὶ τὲς ἄλλες ὅσον γε αὐτῷ ἐπιβάλλει, καὶ ὅσον ἐφικτὸν, λόγοις ἅμα καὶ ὑποδείγματι εἰς τὸ σωφρονεῖν ἐθίζει. καὶ ἐ μόνον τῆς περὶ τὰ ἀφροδίσια ἀκολασίας ἑαυτὸν ἀπάγει, ἀλλὰ καὶ περὶ τὸν ἄλλον βίον αὐτάρκης ὢν, εὐτελείᾳ, καὶ λιτότητι, καὶ κοσμιότητι, καὶ εὐταξίᾳ φαιδρύνεται. ἐν δαπάναις καὶ ἀναλώμασιν, ἀνυπέρβαρτος καὶ μέτριος. ἐν ἐσθῆτι καὶ βρώματι, μὴ ὑπερβάλλων τὸ προσῆκον τῇ ἰδέᾳ τῦ βίε· ἐν σχήματι καὶ κινήσει σώματος, ἔν τε λόγῳ καὶ σιωπῇ, μετὰ

CAP. XII.

De temperantia, modestia, moderatione, & sana sobriaque mente.

EX sacro generalium virtutum quaternario est & temperantia, virtus animæ partis concupiscentis, per quam aspernantur & fastidiunt fruitionem pravarum voluptatum. Temperans autem non solum erga seipsum est severus, beluinam animæ partem voluptatibus inhiantem, ceteraque frivola, quasi fræno quodam, ratione, retorquens, ne ferantur in pejus; sed & alios, quantum ipsi competit, & quantum fieri potest, verbis simul & exemplo suo ad temperanter moderateque vivendum adsuefacit. Atque non modo ab incontinentia circa res venereas seipsum abducit, sed &, sibi sufficiens & seipso contentus, frugalitate, tenuitate, modestia & moderatione splendescit. In sumptibus & impensis non nimius, sed moderatus. In vestitu & cibo non excedens modum vitæ generi convenientem. In gestu & motu corporis, inque sermone & silentio

πολλῆς

„ πολλῆς τῆς ἐμμελείας ἀποδιδοὺς τὸ πρέπον. οἰκονομήσει γάρ, φησι, „ τοὺς λόγους αὐτοῦ ἐν κρίσει. ἔμπειρος καταχωρισμοῦ πράξεως μετὰ βεβαιότητος, καὶ ἑνὶ λόγῳ, εὐάρμοστος, καὶ ἐναρμόνιος, καὶ ὁμαλὸς, καὶ αἰδήμων, καὶ ἑαυτῷ ὅμοιος ἔν τε σμικροῖς καὶ μεγάλοις τοῖς περὶ „ τὸν βίον καὶ πρὸς τὸ ζῆν καθήκουσι. τάξον τινὰ ἤδη χαρακτῆρα „ σαυτῷ, καὶ τύπον, ὁ Ἐπίκτητός φησιν, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων. τὸ δὲ πρέπον ἐν ὁποιαοῦν πράξει οὐ διέσχισαι τοῦ καλοῦ, τὸ γὰρ καλὸν πάντοτε καὶ πρέπον ἐστίν. ἥ τε φύσις αὐτὴ διδάσκαλός ἐστι τοῦ σωφρόνως βιοῦν, καὶ ὑπαγορεύει καὶ τοὺς ἄλλους αἰδεῖσθαι τοὺς ὀρθῶς περὶ τῶν πραγμάτων κρίνοντας, μήτε προσκρούειν αὐτοῖς ἠμελημένως καὶ ῥυπαρῶς βιοῦντα. ἀδικία γὰρ καὶ ὕβρις ἐστὶ τὸ ἀηδίας ἐμπιπλᾶναι τὸ ὁμόφυλον. δεῖ δὴ τὸν σώφρονα πρώτως μὲν καὶ κυρίως τοῦ ἐν τῇ ψυχῇ φροντίζειν κόσμου, ἀλλὰ καὶ ἐν τῇ ἔξω ἀναστροφῇ προσήκει λόγον εὐκοσμίας ποιεῖσθαι, καὶ μή τε διαῤῥέειν τρυφῇ καὶ χλιδῇ, τοῦτο γὰρ ἀκολασία· μή τε ῥάκη περικείμενον ἀναιδῶς βιοῦν, κατὰ τοὺς κυνικοὺς τῶν φιλοσό- παλ. ριά.

apte & concinne repræſentans decorum. * *Diſponet enim*, inquit, *ſermones ſuos in judicio:* ſolers collocare operam cum certitudine, atque uno verbo, habilis, aptus & concinnus, & æquabilis, & verecundus, & ſibi ſimilis ac ſibi conſtans, tam in majoribus, quam in minoribus vitæ officiis. *Conſtitue tandem aliquando tibi figuram aliquam & formam*, inquit Epictetus, *quam cum & ſolus es, & cum homines convenis obſerves.* Decorum autem in nulla actione ab honeſto ſeparatur. Nam quod honeſtum eſt, ſemper etiam decet. Eſtque ipſa natura magiſtra modeſte & decenter vivendi, & ſuadet alios vereri, eos qui recte de rebus judicant, neque quemquam offendere, negligenter & ſordide vivendo. Injuria enim eſt & contumelia, tædio ſatiare ſocios. Oportet ergo temperatum & modeſtum hominem, primo & præcipue quidem, de cultu & ornatu animi eſſe ſollicitum, verum tamen etiam in conſuetudine cum aliis, conveniens eſt, rationem habere decori, ac neque luxu & deliciis diffluere, hoc enim laſcivum & improbum: neque pannis obſitum impudenter vivere, ut Cynici,

* Pſ. III, ſ.

φων, τοῦτο γάρ ἐστι διαῤῥήδην ἀσχημονεῖν εἰς ἅπαν τὸ ἀνθρώπινον. διὸ καὶ ἡ φύσις αὐτὴ ἐκάλυψεν ὁπόσα αἰσχρὰ φαίνεσθαι. ἔνιοι δὲ τὸ ἐῤῥυπῶσθαι τὸ σῶμα ἐν ἀρετῆς μέρει λογίζονται, οὐκ εἰδότες ὅτι τὸ καθαρὸν πανταχοῦ κόσμιον, καὶ ἐν αὐτοῖς τοῖς ἀλόγοις τῶν ζώων. τῷ δὲ ἀνθρώπῳ πολλῷ μᾶλλον ἐπιπρέπει τὸ καθαρίως καὶ εὐσχημόνως ἀναστρέφεσθαι. αἵ τε ἄλλαι ἀρεταὶ εἰ ἔρημοι εἶεν εὐκοσμίας, μετέχουσί πως θηριωδίας, τῇ τε ἐπιπολαζούσῃ αὐχμηρότητι πόῤῥω ἑαυτῶν φυγαδεύουσι τοὺς μετὰ ἀνθρώπων ἀνθρωπίνως βουλομένους ὁμιλεῖν. τὸ γὰρ ἁδρανὲς καὶ ἁπαλὸν, πῶς ὑποίσει ἄκρατον, καὶ ὡς ἔπος εἰπεῖν, ἀπηγριωμένην ἀρετήν; καὶ τὰ γλυκυτάτους φέροντα καρποὺς δένδρα τὸν ἀπὸ τῶν φύλλων κόσμον προσίεται, φυλλοῤῥοήσαντα δ', ὀλίγους εὑρίσκει θεατάς. μὴ ἀμελείτω ἄρα ἡ σωφροσύνη καὶ τοῦ ἔξω κόσμου. κύριον μέντοιγε αὐτῆς ἔργον ἐν τῇ ψυχῇ διαπονεῖσθαι, καὶ τὰ ἑαυτῆς πράττειν, τὰς λυττώσας ἐπιθυμίας καταστέλλουσαν. καὶ ἐνίοις μὲν (ὡς καὶ πυθαγορείοις) τὸ ὑπὸ τῶν παθῶν βιαζόμενον ἀπολισθαίνειν, ἡμιτελὴς ἐδόκει κακία, καὶ ἡμιτελὴς ἀρετὴ ἡ κατὰ τῶν παθῶν νίκη.

hoc enim plane eſt, agere inhoneſte & indecore coram omnibus hominibus. Quapropter etiam ipſa natura contexit & abdidit ea quæ adſpectum eſſent deformem ac turpem habitura. Nonnulli autem ſordidato eſſe corpore, in virtutis parte reputant, neſcientes quam munditia ubique deceat, etiam in animalibus rationis expertibus. Sed hominem multo magis decet munditia modeſtia & honeſtus in vita communi cultus. Ceteræque virtutes, deſtitutæ modeſtia & decoro, participant quodammodo de feritate, atque inhærente ſqualore ſuo longe a ſe fugant eos, qui cum hominibus volunt humano more vivere. Infirmiores enim & teneriores quomodo perferent meram, & ut ita dicam, & efferatam virtutem? Atque etiam arbores quæ dulciſſimos ferunt fructus, ornatum quoque foliorum induunt; ubi autem folia eis defluxere, paucos inveniunt ſpectatores. Non igitur debet negligere temperantia nec exteriorem cultum atque ornatum. Proprium tamen ejus eſt negotium in anima elaborare ac munere ſuo fungi, rabioſas cupiditates ſedando. Ac nonnulli quidem, (ſicut etiam Pythagorei) putarunt, labi violentia affectuum impulſum, eſſe dimidiatum vitium, & affectus vincere,

αἱ δὲ

„ αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς, ἡμιτελέες μὲν ἀρεταὶ, ἡμιτελέες „ δὲ κακίαι τυγχάνοντι. ἀλλὰ τὸ μὲν ἐνίοτε συγγνώμην ἀπονέμειν τοῖς ἀτυχίᾳ φύσεως εἰς ἀπόλαυσιν ἡδονῶν ὑποσυρομένοις, ὡς καί τισι τῶν περὶ ἠθικῆς θεολογίας διειληφότων δοκεῖ, ἴσως ἔχει λόγον, ἅτε μὴ ὁλοσχερῶς συγκατατιθεμένου τοῦ νοός· τὸ δὲ κατὰ τῶν μαινομένων παθῶν γενναιότητι καὶ μεγαλοψυχίᾳ τρόπαιον ἄρασθαι, πῶς ἡμιτελὴς ἀρετή; καὶ ποία ἂν εἴη τελεωτέρα νίκη τῆς κατὰ τῶν σαστιαζόντων παθῶν; ἐπίσης δὲ ἥ τε προπέτεια καὶ ἰταμότης, τό, τε ῥᾴθυμον καὶ ἠμελημένον πόῤῥω σωφροσύνης εἰσίν. οὐκοῦν ὑπουργείτω τὰ πάθη τῷ λογισμῷ, μή τε προτρέχοντα καὶ κατεξανιϛάμενα, μή τε κατόπιν ἀπολειπόμενα, ὥϛε οὐκ ἔχειν ἐν δέοντι λειτουργῆσαι τὰ προσήκοντα. καὶ ἐν τούτῳ ἵδρυται τὸ εὐϛαθὲς, καὶ βέβαιον, καὶ γαληνὸν, καὶ ἀτάραχον τῆς ψυχῆς, φύσει γὰρ ὑποτέτακται τὰ πάθη τῷ λόγῳ, εἴγε ὁ νοῦς μὴ προδιδοίη τὸ ἑαυτοῦ κράτος. τηνικαῦτα γὰρ ὅ, τε θυμὸς καὶ ἡ ἐπιθυμία οἱονεί τινα θηρία τῶν δεσμῶν λυθέντα, ἔξω χωρεῖ, καὶ μυρία ὅσα δεινὰ καὶ χαλεπὰ ἐργάζεται παροινοῦντα καὶ ἀκολαϛαίνοντα, διὰ τοῦτό, Θεαγένους Πυθαγορείου.

dimidiatam virtutem. * *Tales autem dispositiones animæ, dimidiatæ sunt virtutes, & dimidiata vitia.* Sed ignoscere quidem aliquando iis qui vitio naturæ ad fruendas voluptates trahuntur, ut etiam quibusdam visum qui de theologia morali disceptarunt, fortassis a ratione non est alienum, utpote quod id fiat mente non omnino consentiente; at vero insanos affectus magno & generoso animo vincere, quomodo dimidiata est virtus? Et quænam consummatior pleniorque possit esse victoria, quam illa contra affectus seditiosos ac rebelles? Non minus autem protervia & procacitas, quam socordia & ignavia absunt a temperantia. * Theagenis Pythagorei. Serviant ergo affectus rationi, neque prætercurrentes aut insurgentes, neque pone eam deficientes, ut possint, ubi opus, munere suo fungi. Atque in eo sita est constantia & firmitas, & tranquillitas & animæ quies a perturbationibus liberæ. Natura enim subjecti sunt affectus rationi, nisi mens & ratio imperium suum proditura est. Tunc enim ira & concupiscentia, tamquam beluæ quædam vinculis solutæ, erumpunt, & infinita mala perpetrant, protervientes & debacchantes. Ac propterea dicit:

παροι. κεφ. ιέ. φησιν, ἀνὴρ θυμώδης ἐκ εὐσχήμων. ἐπειδὴ ὁ τῷ ἀλόγῳ θυμῷ ἁλὲς «
οἱονεὶ ἴςρῳ πληγεὶς, παρακέκοπ]αι, ἅλλεται, μαίνεται, τρύζει τὲς ὀδόν-
τας, ἀφρίζει, αἷμα πνεῖ, κατὰ τῶν ἄλλων ὁρμᾷ, ἑαυτὸν δάκνει, καὶ
μονονεχὶ κατασπαράτ]ει. τίς ἂν τῶν εὐφρονέντων ἰδὼν τὸν ἕτως ὑπὸ
τῦ θυμῦ ἐκθηριέμενον καὶ μαινόμενον, σωφρονεῖν ἐ μάθοι; τῆς γὰρ
τῦ ἀνθρώπε φύσεως ἑσημέραι εἰς τὸ χεῖρον ὑποῤῥεέσης, ὅτῳεν ἔξεςι
καὶ ἀπὸ τῆς κακίας σωφρονίζεσθαι βδελυτ]όμενον αὐτήν· ὁρῶντα τὸν
θυμώδη, εἰς πραότητα τυπεσθαι· βλέποντα τὸν συὸς δίκην ταῖς
ἀποπ]ύςοις ἡδοναῖς ἐγκαλινδέμενον, καὶ τῇ καταργεμένῃ γαςρὶ
παροι. κεφ. κ΄. δελεύοντα, μυρίαις μάςιξι κολαζόμενον, (ἑτοιμάζονται γὰρ ἀκολάςοις «
μάςιγες,) καὶ ποικίλοις νοσήμασι τρυχέμενον, ὅλως ἀντέχεσθαι τῦ «
νηφαλίε καὶ μετρίε. τὸ γὰρ μετρίως καὶ ὡς δεῖ ἀπολαύειν τῶν ἀπὸ
τῦ μεγαλοδώρε θεῦ κεχορηγημένων, ἥκιςα κεκώλυται. εἰ δέ τις ἐδὲν
ἡδὺ νομίζει εἶναι, ἐ δὲ γινώσκει διαφορὰν ἡδέων καὶ τῶν ἐναντίων,
παροι. κεφ. κ΄. πόῤῥω ἂν εἴη τῦ ἄνθρωπος εἶναι, ὡς Ἀριςοτέλης φησί. τίς γὰρ καυχή- «
Παῦ. Τιμ. ά. κεφ. έ. σεται ἁγνὴν ἔχειν τὴν καρδίαν; καὶ, οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν ςόμαχόν «

Prov. 11, 25. *Vir iracundus non est modestus.* Quandoquidem ira quis captus inconsulta, veluti œstro percitus atque instinctus, delirat, sub-
* Prov. 19, 29. sultat, furit, dentibus stridet, spumas agit, sanguinem spirat, in alios irruit, seipsum rodit & tantum non dilacerat. Quis sanæ mentis talem conspicatus, sic iracundia efferatum & insanientem, non discat & meditetur temperantiam atque modestiam? Etenim humano ingenio quotidie in pejus sublabente, cuivis licet etiam a vitio
* Prov. 20, 9. emendari, illud detestando. Dum videt iracundum, ad mansuetudi-
** 1. Tim. 5, 23. nem & lenitatem formari: dum adspicit eum qui instar porci in despuendis ac fœdis libidinibus volutatur, ventrique ignavo serviens innumeris flagris punitur, (*Parantur enim libidinosis flagra*) variisque morbis consumitur, in totum amplecti sobrietatem & moderationem. Moderate enim & ut decet frui iis rebus quas largitur munificentia divina, minime prohibitum est. Si vero quis nihil jucundum & suave putat esse, neque novit differentiam suavium & contrariorum, is multum abest ut sit homo, ut ait Aristoteles. * *Quis enim gloriabitur, mundum & castum sibi esse cor?* &, ** *Modico vino utere, propter*

σε.

„ σου. καὶ ὁ σοφὸς Σολομὼν, δίδοτε μέθην τοῖς ἐν λύπαις, καὶ οἶνον „ πίνειν τοῖς ἐν ὀδύναις, ἵνα ἐπιλάθωνται τῆς πενίας, καὶ τῶν πόνων „ μὴ μνησθῶσιν ἔτι. δεινὸν γὰρ καὶ ἡ λύπη θηρίον, στρεβλοῦσα καὶ ἄγχουσα τὴν δειλαίαν ψυχὴν, καὶ εἰς ἀπόνοιαν ἀπάγουσα. διὸ καὶ οἱ ἅγιοι ἄνδρες ταῖς ἀνεπιμώμοις καὶ ἱλαραῖς ἀπολαύσεσιν ἐπαρηγόρουν τὸ ἀπειρηκὸς, διὰ τῆς ξυγκεχωρημένης ἀνέσεως τὸν τόνον τῆς ψυχῆς „ συντηροῦντες, ὡς ὁ θεῖος Γρηγόριος ἐν ἀγρῷ διατρίβων, εἴωθά πως, „ ἔλεγε, τοὺς πόνους ταῖς τοιαύταις διαλύειν ἀνέσεσιν, ἐπειδὴ μηδὲ νευρὰ „ φέρει τὸ σύντονον ἀεὶ τεινομένη, καὶ δεῖταί τι μικρὸν καὶ τῶν γλυφίδων „ ἐκλύεσθαι, εἰ μέλλοι ταθήσεσθαι πάλιν, καὶ μὴ ἄχρηστος ἔσεσθαι τῷ τοξότῃ, οὐδ' ἀνόνητος ἐν καιρῷ χρήσεως. καὶ ὁ χρυσοῤῥήμων· ταῦτα „ δὲ λέγω μὲν οὐ κωλύων συνιέναι, οὐδὲ κοινῇ συνδειπνεῖν, ἀλλὰ κωλύων „ ἀσχημονεῖν, καὶ βουλόμενος τὴν τρυφὴν, εἶναι τρυφὴν, ἀλλὰ μὴ κόλα- „ σιν, μηδὲ τιμωρίαν, καὶ μέθην, καὶ κῶμον. μαθέτωσαν οἱ ἕλληνες, „ ὅτι μάλιστα χριστιανοὶ τρυφᾷν ἴσασι, καὶ τρυφᾷν μετὰ κόσμου. „ ἀγαλλιᾶσθε γάρ, φησι, τῷ κυρίῳ ἐν τρόμῳ. πῶς δέ ἐστιν ἀγαλ-

παρ. κεφ. λά.

λόγ. κδ'. τῆς πρὸς Ῥωμ.

ſtomachum tuum. Atque ſapiens ille Salomon, * *Date ſiceram mœrentibus, & vinum his qui amaro ſunt animo: bibant, & obliviſcantur egeſtatis ſuæ, & doloris ſui non recordentur amplius.* Sæva enim eſt belua triſtitia, torquens & angens miſeram animam, inque deſperationem abducens. Quapropter etiam ſancti viri inculpatis & placidis delectationibus ſolabantur laſſitudinem, licita quadam & conceſſa remiſſione tenorem animæ conſervantes, ut divus Gregorius ruri commorans, *Soleo fere*, inquit, *labores talibus diſſolvere remisſionibus; quandoquidem neque nervus arcus fert contentionem, ſi ſemper tendatur, vultque aliquantulum ex crenis renodari, niſi debilis & inutilis futurus eſt ſagittario, cum eo utendum.* Et Chryſoſtomus, *Hæc autem dicens, non prohibeo conventus quosvis neque convivia quæ in communi ſunt, ſed ne præter decorum quid agatur, delicias volens delicias eſſe, non pœnam, non ſupplicium, non ebrietatem, neque immodeſtam comeſſationem. Diſcant Græci, Chriſtianos maxime eſſe, qui deliciari ſciant, ordineque & cum decore deliciari. Exultate, inquit, Domino cum tremore. Quomodo vero exultan-*

* Prov. 31, 6.

In Epiſt. ad Rom. Hom. 24.

λιᾶσθαι; ὕμνους λέγοντας, εὐχὰς ποιουμένους, ψαλμοὺς ἐπεισάγοντας "
ἀντὶ τῶν ἀνελευθέρων ἐκείνων ᾀσμάτων. οὕτω καὶ ὁ χριςὸς τῇ τραπέζῃ "
παρέςαι, καὶ εὐλογίας ἐμπλήσει τὴν εὐωχίαν ἅπασαν, ὅταν εὔχῃ, "
ὅταν ᾄδῃς πνευματικὰ, ὅταν πένητας ἐπὶ τῶν προκειμένων τὴν κοινω- "
νίαν καλῇς, ὅταν εὐταξίαν πολλὴν καὶ σωφροσύνην ἐπιςήσῃς τῷ "
παρμ. κεφ. γ. συμποσίῳ. ὁ δὲ Σολομὼν, υἱὲ, φησι, πρόσεχε, ἵνα μὴ παραῤῥυῇς. καὶ
ὁ μέγας Βασίλειος, ὅσον ἐςὶν ἐν σοί, φησι, φεῦγε τὰς τῆς καρδίας "
διαχύσεις. ἀλλὰ πάλιν ἐξαισίῳ συνέσει καὶ διακρίσει προνοούμενος καὶ "
ἀσκητ. τοῦ σώματος, φησί· τὴν τῶν ἀῤῥώςων παραμυθίαν ἐκ τῶν βρωμά- "
των, ἢ τὴν τοῦ ἄλλως κεκμηκότος ἐπὶ συντόνοις ἔργοις, ἢ καὶ τὴν τοῦ "
παρασκευαζομένου πρὸς κάματον, οἷον ὁδοιπορίαν, ἤ τι ἄλλο τῶν "
ἐπιπόνων, οἱ ἐφεςῶτες πρὸς λόγον ἀεὶ τῆς χρείας οἰκονομήσουσιν, "
ἑπόμενοι τῷ εἰπόντι, ὅτι διεδίδοτο ἑκάςῳ καθ' ὅ, τι ἄν τις χρείαν "
εἶχεν. οὔτε οὖν καιρὸν τροφῆς τὸν αὐτὸν πᾶσι νομοθετῆσαι δυνατὸν, "
οὔτε τὸν τρόπον, οὔτε τὸ μέτρον. ἀλλὰ σκοπὸς μὲν κοινὸς ἔςω ἡ τῆς "

dum est? Si hymnos dixeritis, si preces & vota feceritis, psalmos pro illiberalibus illis canticis induxeritis. Ita & Christus mensæ vestræ aderit, benedictioneque sua totum convivium implebit, quando oraveris, quando spiritualia cecineris, quando pauperes ad eorum quæ apposita sunt communionem vocaveris, quando multam convivio disciplinam & modestiam procuraveris. Salomon autem,
Prov. 3, 21. *Fili,* inquit, *attende, ne diffluas.* Et Magnus Basilius, *Quantum in te est,* inquit, *fuge cordis diffusiones.* Sed rursus ingenti prudentia & judicio prospiciens & consulens etiam cor-
In Asceticis. pori, ait: *Quemadmodum refici escis ægroti debeant, aut vehementioribus alioqui laboribus defatigati, quomodove agi cum illis par sit, qui se ad gravem aliquem laborem, velut iter, aut aliud quodvis laboriosum munus accingunt, antistites ipsi judicabunt, & ad necessitatem uniuscujusque rem totam attemperabunt, illudque quod est in Actis imitabuntur, ubi dicitur: Quod dividebatur singulis, prout unicuique opus erat. Ex quo sane intelligimus, neutiquam omnibus, neque idem cibi sumendi tempus, neque modum eundem regulamque eandem posse describi. Verum enim commune illud propositum sit, videlicet, ut ne quid cuiquam desit*

χρείας

» χρείας ἐκπλήρωσις, τὸ γὰρ ὑπερεμπίπλασθαι τὴν γαστέρα, καὶ
» καταβαρύνεσθαι ταῖς τροφαῖς, κατάρας ἄξιον. καὶ ὁ ἅγιος Χρυσό- λόγ. κδ. τῆς πρὸς Ῥωμ.
» στομος, ὥσπερ γὰρ οὐ τὸ πίνειν ἐκώλυσέ, φησιν, ἀλλὰ τὸ μεθύειν,
» οὐδὲ τὸ γαμεῖν, ἀλλὰ τὸ ἀσελγεῖν, οὕτως οὐδὲ τὸ προνοεῖν τῆς σαρκὸς,
» ἀλλὰ τὸ εἰς ἐπιθυμίας, οἷον τὸ τὴν χρείαν ὑπερβαίνειν, ἐπεὶ ὅτι γε
» προνοεῖν αὐτῆς κελεύει, ἄκουσον τί φησι Τιμοθέῳ, οἴνῳ ὀλίγῳ χρῶ διὰ
» τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. οὕτω δὲ καὶ ἐνταῦθα
» πρόνοει μὲν, ἀλλὰ πρὸς ὑγείαν, μὴ πρὸς ἀσέλγειαν. οὐ δὲ γὰρ ἂν εἴη
» τοῦτο πρόνοια λοιπὸν, ὅταν τὴν φλόγα ἀνάπτῃς, ὅταν χαλεπὴν τὴν
» κάμινον ποιῇς. ἵνα δὲ καὶ σαφέστερον μάθητε τί ποτέ ἐστι τὸ προνοεῖν
» αὐτῆς εἰς ἐπιθυμίαν, καὶ φύγητε τὴν τοιαύτην πρόνοιαν, τοὺς μεθύον-
» τας, τοὺς γαστριζομένους, τοὺς ἐν ἱματίοις καλλωπιζομένους, τοὺς
» θρυπτομένους, τοὺς τὸν ὑγρὸν καὶ διαῤῥέοντα ζῶντας βίον ἐννοήσατε,
» καὶ εἴσεσθε τὸ εἰρημένον. ἐκεῖνοι γὰρ πάντα ποιοῦσιν, οὐχ ἵνα ὑγιαίνω-
» σιν, ἀλλ᾽ ἵνα σκιρτῶσιν, ἵνα τὴν ἐπιθυμίαν ἀνάπτωσιν. ἀλλ᾽ ὁ τὸν
» χριστὸν ἐνδεδυμένος σὺ, πάντα ἐκεῖνα περικόψας, ἓν μόνον ζήτει, ὅπως

eorum, quæ neceſſitas cujusque deſideret. Nam immodice ventrem diſtendere & immoderatis ſe epulis onerare, res eſt deſtabilis. Et ſanctus Chryſoſtomus: * *Quemadmodum enim non bibere, ſed inebriari, non nubere, ſed laſcivire, ita neque carnis curam agere ſimpliciter probibuit, ſed, ad concupiſcentias, addidit, quale eſt dum neceſſarius uſus exceditur. Alioqui quod curam illius agere præcipiat etiam, audi quid Timotheo ſcribat: Modico vino utere,* inquit, *propter ſtomachum tuum, & crebras infirmitates tuas. Ita & hic curam illius babe quidem, ſed ad ſanitatem, non ad laſciviam. Neque enim ea demum vera fuerit carnis cura, ſi quando flammam accenderis, caminum gravem effeceris. Quatenus vero & clarius diſcatis, quidnam ſit, carnis curam ad concupiſcentiam agere, & eam quæ talis eſt fugiatis, ebrios, ventricolas, delicatulos, eos videlicet, qui vitam vivunt mollem & laxam, conſiderate, & intelligetis quid ſit quod dicitur. Illi ſiquidem nihil non faciunt, non ut ſani ſint, ſed ut laſciviant, ut concupiſcentiam inflamment. Tu vero, Chriſtum indutus, univerſis iſtis amputatis, unum hoc tantummodo*

* In Epiſt. ad Rom. Hom. 24.

ὑγιαί-

ὑγιαίνουσαν ἔχῃς τὴν σάρκα, καὶ μέχρι τοσούτου πρόνοει ταύτης, «
περαιτέρω δὲ μηκέτι, ἀλλὰ πᾶσαν τὴν σπουδὴν εἰς τὴν τῶν πνευματι- «
κῶν ἀνάλισκε ἐπιμέλειαν.»

Πρόκειται δὲ ἡμῖν ἐν τῇ ἱερᾷ γραφῇ ὁ Ἰωσὴφ εἰκὼν λαμπρὰ σώφρονος βίου. ἤσκησε δὲ Ἰωσὴφ πολυειδῆ σωφροσύνην ἔν τε λόγοις, καὶ ἔργοις, μή τε εἰς ἀκολασίαν ἐκτραχηλισθεὶς, μή τε εἰς τὴν ἐπίμωμον ὑποσυρεὶς ἠλιθιότητα. καὶ τὸ μὲν, νέον καὶ ὡραῖον ὄντα, γενναίως ἀποσείσασθαι ἐγκειμένην αὐτῷ τὴν δέσποιναν, καὶ δεσμωτήριον οἰκῆσαι μὴ παραχαράξαντα τὰ πρὸς τὸν δεσπότην καὶ εὐεργέτην δικαιώματα, κομιδῇ σώφρονος, καὶ εὐγενοῦς, καὶ δικαιοσύνην τιμώσης ψυχῆς, ἀλλ' ἔχει ἐν τούτῳ καὶ ἄλλους μιμητὰς καὶ ἐναμίλλους τοὺς μὴ παντάπασιν εἰς κακίαν ἀφηνιάσαντας· πόῤῥω γὰρ ἁπάσης μοχθηρίας τὸ ἀλλοτρίᾳ ἐπιβουλεύειν κοίτῃ, καὶ τοῦ τρέφοντος καὶ εὐποιοῦντος κατεπανίστασθαι. τῷ δ' ἡμετέρῳ ἥρωϊ ὁλοσχερὴς ἐπῆν θεια σωφροσύνη, καὶ μετριότης καὶ κοσμιότης πάντοτε διέλαμπεν, οὔ τε νόθῳ τινὶ αἰδοῖ τῆς περιποιήσεως τῶν συμφερόντων ἀπείργουσα, οὔ τε προπετείᾳ καὶ ἰταμότητι μῶμον αὐτῷ περιάπτουσα, ἐν ὁποιωοῦν δὲ ἔργῳ

quære, ut sana sit carne: eo videlicet usque curam illius habeto, ultra vero nequaquam, sed reliquam omnem diligentiam ad spiritualia curanda insumito.

Propositus nobis est in sacra scriptura Joseph ut imago illustris, vitæ temperatæ, pudicæ ac modestæ. Exercuit autem Joseph multiplicem temperantiam, cum in verbis, tum in factis, neque in proterviam prolapsus, neque in stoliditatem culpabilem pertractus. Et quidem, quod adolescens adhuc, & speciosus, generose rejecit instantem ipsi Dominam, quod in carcere officium erga Dominum beneficum intemeratum servavit, temperatæ oppido & ingenuæ justitiamque observantis est animæ: sed habet in hoc alios etiam imitatores pares, qui quidem non prorsus effrænati in vitium ruunt: nam alieno lecto insidiari, & contra nutricium ac benefactorem insurgere, est in omni scelere nimium quantum progredi; at in nostro heroë plena & perfecta inerat temperantia, & moderatio ac modestia perpetuo effulgebat, neque adulterina quadam verecundia ab acquisitione commodorum arcens, neque protervia ac procacitate infamiam ei concilians, verum in quovis negotio spectans & asse-

ἔργῳ κατασοχαζομένη καὶ ἐπιτυγχάνουσα τοῦ δέοντος. τοιαύτη γὰρ
" σωφροσύνη ἀρέσκει θεῷ. καὶ ἦν κύριος μετὰ Ἰωσὴφ, καὶ ἦν ἀνὴρ γέν. κεφ. λθ'.
" ἐπιτυγχάνων. ὁ γὰρ σώφρων οὐκ ἔστι βλὰξ, οὐδ' ἀνδραποδώδης, ἀλλὰ παρατηρεῖ τὸν καιρὸν νοὸς εὐστοχίᾳ, μηδαμῶς παρατρέχει τὰ σωτηριώδη. ὑπουργεῖ μὲν τὰ δέοντα τῷ πλησίον, ἀλλὰ καὶ ἑαυτοῦ ἐν δέοντι προνοεῖται. ἐξηγεῖται δῆτα προθύμως τῷ ἀρχιοινοχόῳ ὁ Ἰωσὴφ τὸν ὄνειρον, καὶ χαρᾶς αὐτὸν ἐμπίπλησι μηνύων τὴν μέλλουσαν εὐτυχίαν, οὐδ' αἰτεῖται χρυσὸν, ἢ ἄργυρον, τοῦτο γὰρ βλακικὸν, καὶ μικρόψυχον, καὶ βάναυσον· αἰτεῖται δὲ ὃ αὐτῷ μὲν πολλοῦ ἄξιον, τῷ δὲ
" εὐεργετηθέντι ἀδάπανον ἅμα καὶ εὐχερές. ἀλλὰ μνήσθητί μου διὰ κεφ. μ'.
" σεαυτοῦ ὅταν εὖ γένηταί σοι, καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος. ἔξω γὰρ ὀνείδους, καὶ δευτέρα ἄντικρυς εὐποιΐα, ὑπομιμνήσκειν τὸν εὖ πεπονθότα τὰ δέοντα, μὴ ξυγχωρήσαντα εἰς ἀχαριστίαν ἐξολισθῆσαι. ἐπειδὴ οὐ μόνον ἤθους σκαιότης, ἀλλ' ἴσως ἔσθ' ὅτε ἡ ῥαθυμία γνώμης, ἢ πραγμάτων ὄχλος εἰς λήθην τὰς χάριτας δοὺς, ἀχαριστίας γραφὴν ἀπηνέγκατο. ἐξαίσιος δὲ σωφροσύνη τὸ, πᾶσαν ἀρετὴν ἐπιγράφεσθαι

quens id quod conveniens eſt & decet. Talis enim temperantia placet Deo. * *Fuitque Dominus cum Joſeph, & erat vir in cunctis proſpere agens*. Temperans enim non eſt bardus neque ſervilis, ſed obſervat tempus ſagacitate mentis, ſalutaria neutiquam præterit. Miniſtrat quidem proximo neceſſaria, ſed & ſibi ubi opus proſpicit ac conſulit. Enarrat igitur æquo animo Joſeph ſomnium præpoſito pincernarum, & gaudio eum implet, indicans futuram felicitatem, neque petit aurum aut argentum, hoc enim inertiæ & puſillanimitatis, & illiberale; petit autem rem ſibi quidem quantivis pretii, ſed beneficiario nihilo conſtantem & facilem: *Tantum memento mei cum bene tibi fuerit, & facias mecum miſericordiam.* Extra enim opprobrium eſt & omnino alterum beneficium, admonere beneficiarium officii, nec permittere, ut in crimen ingrati animi prolabatur. Siquidem non ſolum ruditas morum, ſed fortaſſe quandoque etiam ſocordia, vel negotiorum multitudo, oblivioni tradens gratiam & meritum, reos fecit ingrati animi. Ingens autem modeſtia eſt,

* Gen. 39, 2.
Gen. 40, 14.

K θεῷ,

θεῷ. σοφία τε καὶ ἐπιστήμη ἐρειδόμεναι τῇ ἐξ ὕψους ῥοπῇ, μεγάλην δύναμιν ἴσχουσι, τὰ μὲν ἀπὸ τοῦ φθόνου βέλη διαδιδράσκουσαι, παρὰ πάντων δὲ γεραιρόμεναι. ἀποκριθεὶς δὲ Ἰωσὴφ τῷ Φαραὼ, εἶπεν, ἄνευ μ-
γέν. κεφ. μά.
τοῦ θεοῦ οὐκ ἀποκριθήσεται τὸ σωτήριον Φαραώ. „

Ἔστι δὲ καὶ παῤῥησίας μεστὸν τὸ σῶφρον. καὶ τὸ μὲν δειλὸν κἂν εἰς ζῆλον σωφροσύνης νεανιεύηται, ἀλλ' ἀρετῆς ἔρημόν ἐστιν, οἰκουρεῖ, τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἀποκλίνει, κἂν ἄκον παραστάιη ταῖς ὑπερεχούσαις ἀρχαῖς, περιδεὲς καὶ κατεπληχὸς, ἱδρῶτι περιῤῥεῖται, καὶ τρέμει. ὁ δὲ ἀσφαλῶς σώφρων, μεγαλονοίας καὶ μεγαλοψυχίας ἔμπλεως, ἀναπολεῖ διηνεκῶς ὅπως κοινῇ τε καὶ ἰδίᾳ ἐγκρατὴς γένηται τῶν συνοισόντων, καὶ ἀπρὶξ ἀντιποιῆται τῆς παρὰ θεοῦ χορηγουμένης εὐκαιρίας, ἧς ἀποπτάσης, φροῦδοί εἰσιν πόνοι τε καὶ ἱδρῶτες. ἀμέλει ὁ ἔμφρων οὐδὲν ἧττον ἢ σώφρων νέος, καὶ ἐν τῷ δεσμωτηρίῳ τρέφων γενναίους καὶ πολιτικοὺς λογισμοὺς, οὔτε ἀλλοφύλου βασιλέως ὄγκον δεδίττεται, οὔτε ὑπὸ τῆς ἡλικίας ἀνακόπτεται τοῦ παῤῥησιάσασθαι εἰς δέον, καὶ συμβουλεῦσαι τὰ προσήκοντα τῷ Φαραώ. περάνας δῆτα τὴν ἐξήγησιν τῶν ἐνυπνίων, καὶ περαιτέρω κεχώρηκε. καὶ

Deo adſcribere omnem virtutum, &, ſapientia atque ſcientia, pondus accipientes cœlitus, magnam habent vim, effugiuntque invidiæ tela, & ab omnibus honorantur. *Reſpondit Joſeph: Abſque me Deus reſpondebit proſpera Pharaoni.*
Gen. 41, 16.

Eſt vero etiam fiduciæ plena moderatio. Atque timiditas quidem, etſi ad æmulandam moderationem ſeſe componere jactet, virtutis tamen eſt expers, domi deſidet, cœtus hominum vitat. Quod ſi invita ſe ſiſtat coram magiſtratibus ſuperioribus & principibus, trepidanti & metu perculſæ ſudor undique manat, contremiſcit; contra vere moderatus, magnanimitate plenus, aſſidue meditatur publice & privatim aſſequi profutura, firmiterque capeſſat occaſionem & opportunitatem divinitus oblatam, qua avolante, in caſſum ſunt omnes labores & ſudores. Nimirum cordatus ille non minus quam moderatus adoleſcens, etiam in carcere alens meditationes generoſas ac politicas, nec aliegenæ regis faſtum formidat, neque eum ætas impedit, quo minus libertate utatur, & utilia Pharaoni conſilia ſuggerat. Expoſito nempe inſomnio, ulterius pergit, &, * *Nunc ergo,*
* v. 33.

νῦν οὖν,

νῦν οὖν, φησι, σκέψαι ἄνθρωπον φρόνιμον καὶ συνετὸν, καὶ κατάστησον αὐτὸν ἐπὶ γῆς αἰγύπτου. οὐκοῦν τὸ μὲν διὰ τῆς τετριμμένης βαδίζοντα μόναις ταῖς ταπεινοτέραις ὑποθήκαις ἀγαπᾷν, οἷα καὶ τὸ μὴ διδόναι βουλὴν οὐκ ἐρωτώμενον, ταῖς ἀγελαίαις ψυχαῖς ἀπεῤῥίφθω· ἐξέστω δὲ σώφρονι μεγαλοψυχίᾳ ἐπιδράττεσθαι τοῦ καιροῦ, καὶ αὐτουργεῖν τὰ διαῤῥήδην συμφέροντα. διὸ καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων, φησίν.

Ἔλαβε δὲ διδόντος τοῦ δεσπότου γυναῖκα τὴν Ἀσενέθ. ἡ μὲν γὰρ ἀκολασία ἄρδην ἀνατρέπει τὸ σῶφρον, οἱ δὲ ἐν νόμῳ γάμου γυναικὶ ὁμιλοῦντες, γεραροὶ καὶ τίμιοι, μὴ μόνον τῷ πληθυσμῷ εὐποιοῦντες τὸ ἀνθρώπινον, ἀλλὰ καὶ βασιλεῖ, βεβαίῳ πίστει δουλεύοντες, ἅτε τέκνων γιγνόμενοι πατέρες, καὶ ἰσχυρὰ ἐνέχυρα τῇ πολιτείᾳ διδόντες.
„ τίς γὰρ πιστεύσει, φησὶν ὁ Σειρὰχ, εὐζώνῳ λῃστῇ σφαλλομένῳ ἐκ κεφ. κς'.
„ πόλεως εἰς πόλιν; οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν, καὶ καταλύοντι
„ οὗ ἐὰν ὀψίσῃ. ὥσπερ δὲ σώφρονος ἀνδρός ἐστι τὸ μὴ ὑπ' ἀλαζονείας ἐπαιρόμενον καταθρασύνεσθαι τῶν πέλας, ἀλλ' οἰκείοις τε καὶ ξένοις ἐμμελῶς καὶ μετρίως προσφέρεσθαι. οὕτως οὐκ ἀπέοικε μεγαλοψύχῳ

inquit, *provideat rex virum sapientem & industrium, & præficiat eum terræ Ægypti.* Ergo per tritam tantum viam incedendo, solis humilioribus consiliis contentum esse, veluti consilium non dare, nisi interrogeris, hoc quidem ad vulgares & plebejas animas rejiciatur; at magnanimitati liceat cum modestia conjunctæ, arripere occasionem, & proprio marte utilia procurare. Unde, *& erat vir*, inquit, *in cunctis prospere agens.*

Duxit autem, dante domino, uxorem Aseneth, incontinentia enim funditus evertit temperantiam; ii vero qui jure matrimonii mulieribus junguntur, venerabiles & honorandi sunt, non solum multiplicatione consulentes generi humano, sed & regi fideliter & constanter servientes, ut qui filiorum fiant genitores, firmaque reip. dent pignora. Quis enim *credet*, inquit, Sirach, *succincto latroni, erranti de civitate in civitatem? sic etiam homini qui non habet nidum, & deflectit ubicumque vesperi fuerit.* Sicut autem moderati viri est, non insolenter erga alios insurgere per arrogantiam, sed tam domesticos ac necessarios, quam alienos moderate & scite atque apte tractare; ita non incongruum est magnanimæ tem- Ecclesiastici, 36, 28.

σωφροσύνη μεταδιδόναι καὶ τῷ πλησίον τῶν ἔνδον καλῶν, ἐν δέοντι καθαπτομένην καὶ ἐλέγχουσαν. τῆς γὰρ μοχθηρίας ἠπιότητος προφάσει μηδαμῶς κολαζομένης, ἄνω καὶ κάτω πάντα περιτραπήσεται, καὶ πᾶσα εὐταξία καὶ εὐκοσμία διοιχήσεται, ἴσα * ἀρετῇ τιμωμένης
γέν. κεφ. μβ'. κακίας. ἰδὼν δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπέγνω, καὶ ἠλλοτριοῦτο « ἀπ' αὐτῶν, καὶ ἐλάλησεν αὐτοῖς σκληρά. ἐσωφρόνει, ἀλλ' ἐν δέοντι « καὶ ἀπὸ τῶν ἀδελφῶν ἠλλοτριοῦτο, εἰς μετάνοιαν αὐτοὺς συνελαύνων. ἠπείλει, ἐδέσμει, εἰς φόβον ἐνέβαλλε θανάτου, οὐκ ἐκδικῶν ἑαυτὸν, ἀλλ' ἐκείνους σωφρονίζων. ἀποστραφεὶς γὰρ ἀπ' αὐτῶν ἔκλαυσεν. ἡ γὰρ τῆς ἀγάπης φλὸξ ἐπενέμετο τὴν σωφρονοῦσαν ψυχήν. ἐκείνη ὑπηγόρευε τὰς ἀπειλὰς, ἀπ' ἐκείνης ἐπήγαζε τὰ δάκρυα, καὶ πανταχοῦ τὸ μέτριον καὶ κόσμιον διηύγαζε. καὶ τὸν μὲν νεώτερον τῶν ἀδελφῶν μᾶλλον ἠγάπα. ἡ γὰρ ἀγάπη οὔτε νόμον οὔτε ὅρον ἔχει. αὐτὴ δὲ ὡς φίλον αὐτῇ καὶ ἐπιτείνει καὶ ἀνίησι τὰ τοῦ φίλτρου, καὶ φιλοῦμεν κἂν θέλωμεν, κἂν μὴ θέλωμεν, βίαιον γὰρ χρῆμα ἡ ἀγάπη. τὸ δὲ καὶ ἀγάπη πυρπολούμενον τὰ πρὸς τοὺς ἄλλους μὴ περιορᾶν καθήκοντα, ἐκεῖνο τῶν ἐφ' ἡμῖν ἐστί. διὰ τοῦτο ἰδιαιτέραις μὲν φιλοφροσύναις ἐπι-

perantiæ, impertire proximo interna bona, ubi opus, taxando & redarguendo. Si enim malitia, lenitatis prætextu, non puniatur, sursum deorsum omnia vertentur: & omnis ordo atque modestia peribit, si sceleris idem sit ac virtutis honos.
Gen. 42, 7. *Cum autem cognovisset Joseph fratres suos, quasi ad alienos durius loquebatur.* Erat moderatus, sed necessitate exigente, etiam fratribus alienum se ostendebat, in pœnitentiam eos compellens. Minabatur, vinciebat, & in mortis terrorem conjiciebat, non se vindicans, sed illos ipsos castigans. Avertit enim se ab eis & flevit. Amoris enim flamma possidebat & depascebatur temperatam animam. Illa dictabat minas, ab illa manabant lacrymæ, & ubique moderatio ac modestia elucebat. Ac juniorem quidem ex fratribus magis diligebat. Amor enim nec legem nec modum habet, sed ipse ut ei visum est, & intendit & remittit dilectionem, amamusque nolentes volentes, violenta enim res est amor. Sed non obstante amoris igne, etiam officia aliis debita observare, hoc nostri est arbitrii. Quapropter peculiari comitate ostendit gliscen-

δείκνυται

δείκνυται πρὸς τὸν Βενιαμὶν τὴν ἐπιτεταμένην ἀγάπην. ἐν δὲ τῇ ἐν
» ὑπαίθρῳ ἀναστροφῇ, τιμᾷ νόμους φύσεως. ἐκάθισαν δὲ ἐναντίον γεν. κεφ. μγ΄.
» αὐτοῦ ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ, καὶ ὁ νεώτερος κατὰ
» τὴν νεότητα αὐτοῦ.

Ὅτι δὲ ἔξεστιν ἐνίοτε τῷ σώφρονι καὶ περὶ ἑαυτοῦ τὰ ὄντα λέγειν,
» καὶ τούτου ἡμῖν ὑπογραμμὸς ὁ σώφρων Ἰωσήφ. ἀπαγγείλατε οὖν τῷ κεφ. μέ.
» πατρί μου, λέγων, πᾶσαν τὴν δόξαν μου τὴν ἐν αἰγύπτῳ. ἤθελε γὰρ
εὐφρᾶναι τὸν φύντα γεγηρακότα καὶ ἀθυμοῦντα, καὶ ἐλπίδι κρείττονος βίου ἐπικουφίσαι αὐτῷ τὰ τῆς ὁδοιπορίας. καὶ τοῦτο πρὸ ὀμμάτων
» ἔχων, οὐκ ἐφείσατο οὐδὲ τῶν περὶ ἑαυτοῦ ἐπαίνων. καὶ ὁπηνίκα ὤφθη κεφ. μϛ΄.
» αὐτῷ ἤδη ἀφικομένῳ, ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε
» κλαυθμῷ πίονι, τῆς ὑπερβαλλούσης πρὸς τὸν πατέρα ἀγάπης μυρία διεγειρούσης πάθη, καὶ ἔξω βαλλούσης τηνικαῦτα οὐ μόνον τὸν φόβον, ἀλλὰ καὶ τὴν ὀφειλομένην ἄλλως πρὸς τὸν γεγεννηκότα αἰδῶ καὶ ταπείνωσιν, ἣν ὁ σώφρων Ἰωσὴφ ἐν αὐλῇ τραφεὶς βασιλικῇ ἐς ἄκρον μετῆλθε. καίπερ γὰρ ἅπασαν τὴν ἀρχὴν αἰγύπτου διοικῶν, καὶ πατὴρ Φαραὼ καλούμενος, ἀλλὰ καὶ ἐπιδαψιλευόμενον ἐδεδοίκει, καὶ

tem amorem erga Benjamin; in propatulo autem & civili conversatione observat leges naturæ. * *Sederunt coram eo, primogenitus juxta primogenita sua, & minimus, juxta ætatem suam.*

Licitum autem esse quandoque temperato ac modesto etiam de seipso ita ut res sunt prædicare, etiam ejus rei exemplum est Joseph modestus. ** *Nunciate patri meo universam gloriam meam, & cuncta quæ vidistis in Ægypto.* Volebat enim lætificare genitorem jam senem, qui animum despondebat, speque melioris vitæ, iter ei levius reddere. Atque hoc respectu nec a propriis laudibus abstinuit. Et ubi venit, *videns eum, irruit super collum ejus, & amplexus flevit,* nimio illo erga patrem amore excitante innumeras affectiones, & tunc expellente non solum timorem, sed & debitam alioqui genitori reverentiam & humiliationem; quam Joseph modestus, aulæ innutritus regiæ summopere persequebatur. Quamvis enim universum Ægypti regnum administraret, paterque Pharaonis audiret, tamen etiam indulgentem & largientem metuebat,

* Gen. 43, 33.
Cap. 46, 29.
** Cap. 45, 13.

 ὑπεπα-

ὑπεποιεῖτο αἰδοῖ σώφρονι φρόνημα τυραννικόν. καὶ τὸν ἐν βασιλείοις αὐλαῖς φθόνον διακλίνων, ἑαυτὸν ἐταπείνȣ, καὶ διεκήλει τȣ̀ς συνάρ-
γέν. κεφ. ν. χοντας. ἐλάλησεν Ἰωσὴφ πρὸς τȣ̀ς δυνάστας Φαραὼ λέγων, εἰ εὗρον " χάριν ἐναντίον ὑμῶν, λαλήσατε περὶ ἐμȣ̃ εἰς τὰ ὦτα Φαραώ. ἄλλη " γὰρ ἰδιώτȣ σωφροσύνη, καὶ ἄλλη ἄρχοντος, καὶ ἄλλη μονάζοντος. ὁ γὰρ ἄρχων σωφρονεῖ ȣ̓κ ἐν τῇ οἰκίᾳ μόνον τῶν φαύλων ἡδονῶν ἀπεχόμενος, καὶ παιδεύων τὰ τέκνα, ἀλλὰ ἀφ' ἑστίας * ἀρχόμενος εἰς τὰ ἔξω χωρεῖ, καὶ προχέει τὰ τῆς μεγαλοψύχȣ σωφροσύνης ἀγαθά.
Ἐπισ. νδʹ. Γεμέλλῳ. διὸ ȣ̓κ ἐν τῇ χλανίδι καὶ τῇ ζώνῃ, ȣ̓́τε ἐν τῇ φωνῇ τȣ̃ κηρύγματος " ὁ ἄρχων, ὁ θεῖος Χρυσόστομός φησιν, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα " ἀνακτᾶσθαι, καὶ τὰ κακῶς ἔχοντα διορθȣ̃ν, καὶ κολάζειν μὲν ἀδικίαν, " μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι. καὶ γὰρ " οἶδά σȣ τὴν παῤῥησίαν, τὴν ἐλευθεροστομίαν, τῆς διανοίας τὸ ὕψος, " τὴν τῶν βιωτικῶν ὑπεροψίαν, τὸ μισοπόνηρον, τὸ ἥμερον, τὸ φιλάν- " θρωπον, ȣ̃ μάλιστα ἄρχοντι δεῖ. διὸ κἀκεῖνο οἶδα σαφῶς, ὅτι λιμὴν " ἔσῃ τῶν ναυαγȣ́ντων, βακτηρία τῶν ἐπὶ γόνυ κλιθέντων, πύργος "

fastumque tyrannicum modesta verecundia æquum sibi reddebat. Atque in aulis regiis, declinandæ invidiæ causa, seipsum humiliabat, & demulcebat collegas suos,
Gen. 50, 4. *Locutus est Joseph ad familiam Pharaonis: Si inveni gratiam in conspectu vestro, loquimini in auribus Pharaonis.* Alia enim est moderatio ac temperantia privati hominis & plebeji, alia magistratus aut principis, & alia monachi. Magistratus enim sive princeps temperantiam & moderationem exercet non domi tantum a pravis voluptatibus abstinens, liberosque castigans; sed a Lare incipiens pergit & foris effundit magnanimæ moderationis bona.
* Epist. 54. ad Gemellum. * *Quare non in veste ac cingulo, nec in præconis vocesitus est prætor*, inquit, divus Chrysostomus, *verum in hoc demum, ut quæ labefactata sunt in integrum restituat, & quæ malo statu sunt corrigat, atque injustitiam coërceat, nec jus ab opibus & potentia in fugam verti patiatur. Mihi enim explorata est animi tui fiducia, loquendi libertas, mentis sublimitas, rerum hujus vitæ contemptio, improborum odium, lenitas, humanitas, qua potissimum is qui aliis præest opus habet. Ac proinde illud quoque perspectissimum habeo, te fore, naufragis portum, iis quibus genua labant lassitudine scipio-*

τῶν

τῶν ὑπὸ δυναςείας ἀδίκου πολεμουμένων. καὶ τὰ τοῦ μεγάλου Βασιλείου, χρώμασιν ἀνθηροῖς ζωγραφεῖ τήν τε ἐν ἔργοις καὶ λόγοις σωφροσύνην. „ καὶ πρῶτόν γε πάντων σπουδάζειν προσήκει περὶ τὴν τοῦ λόγου χρῆσιν „ μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾷν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ „ ἀφιλοτίμως μὴ διακόπτοντα τὸν προσδιαλεγόμενον ὅταν χρήσιμον „ λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς παρεμβάλ- „ λειν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ. μανθάνειν δὲ ἀνεπαισχύντως, „ καὶ διδάσκειν ἀνεπιφθόνως. καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται μὴ ἐπι- „ κρύπτειν, ὥσπερ αἱ φαῦλαι τῶν γυναικῶν αἱ τὰ νόθα ὑποβαλλόμεναι, „ ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. τόνος δὲ φωνῆς „ ὁ μέσος προτιμητέος, ὡς μή τε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότη- „ τος, μή τε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως. προεξετά- „ σαντα δὲ ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον. „ εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν ἐν ταῖς ὁμιλίαις, οὐ διὰ τῆς „ εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως

Ἐπισ. ά. Γρηγ. θεολ.

nem, iis qui per injuriam a potentibus premuntur, turrim. Magni etiam Basilii verba floridis coloribus pingunt cum eam moderationem ac modestiam quæ in actionibus, tum eam quæ in verbis debet esse. * *Atque imprimis quidem magno studio id comparandum habemus scite ut sermocinari possimus, ut nec contentiosius percunctemur, nec affectantius respondeamus, ut differenti non obloquamur, nec interfari atque interpellare gestiamus absurda ostentatione fastumque præ se ferente, ut modum teneamus & sermocinandi & auscultandi. Neque vero ad discendum verecundum esse oportet, nec ad docendum malignum. Quod ab alio tute didiceris, nequaquam clam habendum: cujusmodi facere mulieres improbæ solent, quæ ex aliis ipsæ quæsitos liberos viris suis tollendos subjiciunt, patrem ementientes: autorem vero ipsum prodere grata commemoratione decet verumque ipsius scientiæ parentem. Vocis porro intentio mediocritate temperanda est, ut nec exilior fallat aures, nec contentior odiosa radat offensione. Expendendum prius quid dicturus sis, atque ita demum edendum & provulgandum. At vero in congressibus comiter appellare oportet, atque in consuetudine suavem se præbere, non etiam voluptatem facetiosis sermonibus aucupari: adhortationum vero benigni-*

* Epist. I. ad Gregor. theol.

τὸ

τὸ προσηνὲς ἔχοντα, πανταχοῦ τὸ τραχὺ, κἂν ἐπιτιμῆσαι δέοι, “
ἀπωθούμενον. προκαταλαβὼν γὰρ ἑαυτὸν διὰ ταπεινοφροσύνης, “
οὕτως εὐπαράδεκτος ἔσῃ τῷ δεομένῳ τῆς θεραπείας. πολλάκις δὲ “
χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως. ὃς τῷ “
Δαβὶδ ἁμαρτόντι οὐ παρ᾽ ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, “
ἀλλ᾽ ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον ἐκάθισε τοῦ ἰδίου “
κριτὴν ἁμαρτήματος, ὥστε αὐτὸν καθ᾽ ἑαυτοῦ προεξενεγκόντα τὴν “
κρίσιν, μηδὲν ἔτι μέμφεσθαι τὸν ἐλέγξαντα.”

Ἐμπίπτει δὲ ἐνίοτε καιρὸς, ὃς συμβουλεύει προτιμῆσαι ἐλάττονος ἀγαθοῦ μεῖζον καλόν. καὶ τότε δὴ τότε μεγάλης χρεία συνέσεως, ἵνα ὁ πράττων ἐφίκηται τοῦ προσήκοντος, καὶ μὴ περὶ τὴν κρίσιν σφαλῇ. καὶ καλὸν μὲν τὸ προνοεῖσθαι τῶν οἰκείων, ἀλλὰ ὁ Λὼτ ἐπαινεῖται, ἐπὶ φυλακῇ τῶν ξένων τὰς ἰδίας ἐκδοὺς θυγατέρας τοῖς μαινομένοις πολίταις. πρὸς δ᾽ αὖ τοὺς ξένους, ὁ Πλάτων φησὶ, διανοητέον “
ὡς ἁγιώτατα ξυμβόλαια ὄντα, καὶ ὁ θεὸς τιμωρός.”

Καὶ ἡ ἀξιάγαστος Ἰουδὴθ οὐ μόνον τῆς ζωῆς οὐκ ἐφείσατο, ἀλλὰ

tate, clementiæ ac masuetudinis opinio colligenda est. Nunquam acerbum se præbere convenit, etiamsi objurgatione opus sit. Nam si prius te ipsum ad humilitatem componas, ita demum acceptus eris ei qui medela indiget. Plerumque vero conducibilis nobis erit ea increpandi ratio quam Propheta secutus est, qui peccati reo Davidi non a semetipso impegit damnationis modum, sed accersita persona utens, judicem illum ipsum in proprio crimine æstimando constituit, adeo præjudicio in sese facto, nihil deinde habuit quod succenseret increpanti.

Incidit autem quandoque occasio quæ suadet præferre majus bonum & honestum minori. Atque ibi demum opus est magna prudentia, ut in ipso negotio quis rem attingat, neque circa judicium & electionem fallatur. Estque honestum & bonum domesticis prospicere, sed Lot laudatur, qui ad tuendos hospites, filias tradiderit furiosis civibus. * *Inter hospites autem cogitandum, esse commercia sanctissima, Deumque vindicem,* inquit Plato.

* V. Legum.

Et admirabilis illa Judith, non modo vitæ non pepercit, sed &

καὶ τὴν

καὶ τὴν σωφροσύνην εἰς πρῦπ]ον ἐνέβαλε κίνδυνον ἵνα τῇ πατρίδι ἐν κινδύνῳ ὄσῃ περιποιήσηται τὴν ἀσφάλειαν. οὕτω πολλάκις νηστείας ἀνεπιμώμως προτιμῶμεν παραμυθίαν ἀσθενοῦντος σώματος. καὶ τὴν „ νηστείαν καὶ τὸ φαγεῖν, μετὰ λόγου τοῦ οἰκείου τῆς θεοσεβείας παρα- „ λαμβάνεσθαι χρή. ἵνα ὅταν μὲν ἐντολὴν θεοῦ διὰ νηστείας κατορθω- „ θῆναι δέοι, νηστεύσωμεν· ὅταν δὲ πάλιν ἡ ἐντολὴ τοῦ θεοῦ βρῶσιν „ ἐπιζητῇ ἐνδυναμοῦσαν τὸ σῶμα, φάγωμεν, οὐχ ὡς γαστρίμαργοι, ἀλλ' „ ὡς ἐργάται θεοῦ. φυλάσσειν γὰρ χρὴ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, „ εἴ τε ἐσθίετε, εἴ τε πίνετε, εἴ τε τι ποιεῖτε, πάντα πρὸς δόξαν θεοῦ „ ποιεῖτε. Βασιλ. μεγά. ἀσκετ.

Οὐ μόνον δὲ τὸ νηστείαν παραιτεῖσθαι, ἀλλ' καὶ τὸ οἰκουρεῖν, καὶ μὴ μετὰ τῶν ἄλλων ἐν τῷ θείῳ ναῷ τεταγμένοις καιροῖς προσεύχεσθαι, ἐφεῖται τοῖς παρεδρεύουσι τοῖς ἀσθενοῦσι, καὶ τοῖς ὑπηρετουμένοις τῷ κοινῷ, διὸ ὁ αὐτὸς ἅγιός φησιν·

„ Ἕκαστος ἐν τῷ ἑαυτοῦ ἔργῳ φυλάσσει τὸν ἴδιον κανόνα ὡς μέλος „ ἐν σώματι. καὶ ζημιοῦται μὲν αὐτὸς ἀμελήσας τοῦ ἐπιτεταγμένου, „ καὶ τῷ κοινῷ δὲ ἐπιβουλεύων, κινδυνεύει περισσοτέρως. ὥστε κατὰ

pudicitiam in periculum evidens conjecit, ut patriæ periclitanti procuraret securitatem. Sic sæpe jejunio citra culpam præferimus solamen & curam languentis corporis. * *Omnino & jejunium & cibus ex ratione pietati accommodata assumi debent, ut videlicet quotiescunque mandato Dei per jejunium satisfaciendum est, jejunemus: quotiescunque item mandatum Dei cibum desiderat quo corpus confirmetur, edamus, non ut belluones, sed ut operarii Dei. Servandum enim, quod dictum est ab Apostolo: Sive manducatis, sive bibitis, sive quid aliud facitis, omnia in gloriam Dei facite.*

Sed non solum jejunium deprecari, verum etiam domi manere, nec cum aliis in sacra æde statis temporibus precibus vacare, permittitur iis, qui ægrotis præsto sunt, & iis qui publico ministrant; quapropter idem ille Sanctus ait: *Unusquisque in munere suo regulam propriam conservat, tanquam membrum in corpore: & sine dubio ipse jacturam facit, quandocumque facere neglexerit, quod sibi assignatum sit, & ut omnium insidiator publicus, majorem in modum periclitatur. Quare juxta mentem Apo-*

* Basil. M. in Ascet.

μὲν διάνοιαν, πληρούτω τὰ γεγραμμένα, ὅτι ᾄδοντες καὶ ψάλλοντες "
ἐν ταῖς καρδίαις ὑμῶν τῷ κυρίῳ. εἰ δὲ καὶ σωματικῶς μὴ φθάνει "
συνδραμεῖν τοῖς λοιποῖς, μηδὲν διακρινέσθω, ποιῶν τὸ εἰρημένον, ἕκαστος "
ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. "

Ἔνιοι δὲ οἰκονομίας προφάσει, καὶ τῆς ὑπὲρ τοῦ κοινοῦ προνοίας, κιβδηλεύουσι τὸ χρυσοῦν τῆς ἀρετῆς νόμισμα, καὶ ξυγχωροῦσιν ἐπ' ὀλέθρῳ τοῦ κοινοῦ τῶν ἀνθρώπων ἃ διαῤῥήδην ἀπηγόρευται. θείους ναοὺς
ψαλ. ξη'. ἐκ βάθρων κατασκάπτουσιν, ὅπως ἀνεγείρωσιν ὀχυρώματα. ὁ ζῆλος "
ψαλ. πγ'. τοῦ οἴκου σου κατέφαγέ με. καὶ, ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε "
τῶν δυνάμεων, ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ "
Παῦ. ά. Κοριν. κεφ. γ'. κυρίου. καὶ εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός. "

Ἀφορίζουσι δὲ καὶ ταῖς πόρναις ἐν ταῖς πόλεσι καταγώγια, σωφροσύνης δῆθεν προνοούμενοι, καὶ μοιχείαν κωλύοντες. ἀλλὰ φρούδη ἀκμὴν ἡ πρόφασις. οἱ γὰρ ἀναίδην πορνεύοντες, παρὰ τῶν πορνῶν μανθάνουσι τὸ εὐόλισθον τῆς γυναικείας φύσεως, καὶ ἀδεέστερον ἤδη προσβάλλουσι ταῖς ἀνδράσι συνοικούσαις, καὶ τὰς ἐντίμους ἀνατρέπουσιν οἰκίας. αἵ τε σεμναὶ γυναῖκες παραδειγματιζομένας ὁσημέραι

ſtoli exequi debet, quæ ſcripta ſunt, Cantantes & pſallentes in cordibus
* Paul. 1. Cor. 3, 17. *veſtris Deo. Si vero etiam corpore una cum reliquis præſto eſſe non potuit, nihil dubitet, ſi faciat, quod dictum eſt, Unusquisque in quo vocatus eſt, in hoc maneat.*

Nonnulli autem diſpenſationis prætextu, & ac ſi publico conſulant, adulterant auream virtutis monetam, & ea permittunt ad perniciem reip. quæ diſerte interdicta ſunt. Sacras ædes funditus evertunt, ut munimenta erigant.
Pſ. 68, 10. *Zelus domus tuæ comedit me.* Et,
Pſ. 83, 1. *Quam dilecta tabernacula tua Domine virtutum: concupiſcit & deficit anima mea in atria Domini.* Atque, * *Si quis templum Dei violaverit, diſperdet illum Deus.*

Deſtinant vero etiam meretricibus diverſoria in civitatibus, pudicitiæ ſcilicet conſulentes, & adulteria impedientes. Sed admodum vana hæc eſt excuſatio. Qui enim paſſim & libere fornicantur, ex meretricibus diſcunt, quam labile ſit muliebre ingenium, atque minore jam metu & facilius ſubigunt maritatas, honeſtasque evertunt familias: &, caſtæ ac pudicæ mulieres, quæ vident quotidie publicari ac proſtitui

βλέπου-

βλέπουσαι τὸ γυναικεῖον φῦλον, καὶ εἰς τοσαύτην ἀναίδειαν καὶ ἀκολασίαν ἐκτραχηλιζόμενον, οὐκ ὀλίγαι ἀποδύονται κατὰ μικρὸν τὸ σῶφρον. οὐ δὲ γὰρ δυνατὸν μὴ σωφρονούσης πόλεως σωφρονεῖν τὰς ἐπὶ
„ μέρους οἰκίας. τί σπείρεις, ὁ θεῖός φησι Χρυσόστομος, ἔνθα ἡ ἄρουρα λόγ. κδ΄. τῆς πρὸς Ῥωμ. ἐπι.
„ σπουδάζει διαφθεῖραι τὸν καρπόν; ἔνθα πολλὰ τὰ ἀτόκια; ἔνθα πρὸ
„ τῆς γενέσεως φόνος; καὶ γὰρ καὶ τὴν πόρνην οὐκ ἀφίης μεῖναι πόρνην
„ μόνην, ἀλλὰ καὶ ἀνδροφόνον ποιεῖς. εἶδες ἀπὸ μέθης πορνείαν, ἀπὸ
„ πορνείας μοιχείαν, ἀπὸ μοιχείας φόνον; μᾶλλον δὲ καὶ φόνου τι χεῖρον;
„ οὐ δὲ γὰρ ἔχω πῶς αὐτὸ καλέσω. οὐ γὰρ τεχθέντα ἀναιρεῖ, ἀλλὰ
„ καὶ τεχθῆναι κωλύει. τί τοίνυν καὶ τοῦ θεοῦ τὴν δωρεὰν ὑβρίζεις, καὶ
„ τοῖς αὐτοῦ μάχῃ νόμοις; καὶ ὅπερ ἐστὶ κατάρα, τοῦτο ὡς εὐλογίαν
„ μεταδιώκεις, καὶ τὸ ταμεῖον τῆς γενέσεως, ταμεῖον ποιεῖς σφαγῆς,
„ καὶ τὴν πρὸς παιδοποιίαν δοθεῖσαν γυναῖκα, πρὸς φόνον παρασκευά-
„ ζεις; ἵνα γὰρ ἀεὶ τοῖς ἐρασταῖς εὔχρηστος ᾖ καὶ ποθεινὴ, καὶ πλέον
„ ἀργύριον ἕλκῃ, οὐ δὲ τοῦτο παραιτεῖται ποιῆσαι, μέγα ἐπὶ σὴν κεφα-
„ λὴν τὸ πῦρ ἐντεῦθεν σωρεύουσα. εἰ γὰρ καὶ ἐκείνης τὸ τόλμημα, ἀλλὰ
„ σὴ ἡ αἰτία γίγνεται.

ſexum muliebrem, inque tantam impudentiam ac proterviam prolabi, non paucæ exuunt paullatim pudicitiam. Neque enim fieri poteſt ut in civitate pudicitiam non obſervante pudicæ ſint familiæ. * *Quid ſeminas ubi arvum ipſum fructum corrumpere ſtudet*, inquit divus Chryſoſtomus, *ubi multa ſunt ſterilitatem cauſantia, ubi ante generationem cædes? Scortum enim non permittis ut ſcortum tantummodo maneat, ſed & homicidium patrare facis. Vides quomodo ex ebrietate ſit ſcortatio, ex ſcortatione adulterium, ex adulterio cædes, imo cæde etiam pejus? Neque enim habeo quomodo iſtud flagitium enorme exprimam. Nam non ſolum quod natum eſt occidit: ſed & ne naſcatur prohibet. Quid ergo & donum Dei ignominia afficis, & ipſius repugnas legibus? & quod execrandum eſt veluti laudabile proſequeris, generationisque promptuarium, promptuarium facis occiſionis, & mulierem quæ ad puerorum generationem data eſt, ad necis artificium inſtruis? Ut enim & amatoribus perpetuo ſit accommoda ac amabilis, & plus interea pecuniæ corradat, neque hoc, ut facinoroſum deprecabitur facere, multum ignis inde in tuum ipſius caput accumulans. Quamvis enim facinus ipſius ſit, tua tamen eſt culpa.*

* Homil. 24. in Epiſt. ad Rom.

Περὶ δικαιοσύνης.

Κεφάλ. ιγ΄.

Ἡ Δικαιοσύνη ἐςὶ κορυφαιοτάτη τῶν ἀρετῶν, καὶ ἀρετὴ τελεία, καὶ πανυπερτάτη, καὶ οἱονεὶ μήτηρ, καὶ τροφὸς, καὶ τιθηνὸς πασῶν ἀρετῶν, καὶ πρᾶγμα * πολλῷ χρυσίȣ τιμιώτερον, ὥς ἔφη Πλάτων, ὑγεία τε, καὶ κάλλος, καὶ ἁρμονία, καὶ εἰρήνη, καὶ εὐεξία ψυχῆς, τά τε ἐπιτηδεύματα αὐτῆς κοινωνικά εἰσι, καὶ ἥμερα, καὶ εὐσύμβολα, καὶ εὐσυνάλλακτα, καὶ ὠφέλιμα, καὶ οἵα τις δέσποινα ἄρχει πασῶν τῶν ἀρετῶν. Φρονήσει τε γὰρ καὶ ἀνδρείᾳ, καὶ σωφροσύνῃ, καὶ πραότητι ȣ̓ μόνον κάλλος περιτίθησι καὶ κόσμον, ἀλλὰ καὶ διορίζει ἑκάςῃ τὰ πρακτέα. προςάττȣσι γὰρ οἱ νόμοι μὴ λείπειν τὴν τάξιν, μηδὲ φεύγειν, ὅπερ ἐςὶ τȣ̃ ἀνδρείȣ· καὶ μὴ μοιχεύειν, μηδὲ ὑβρίζειν, ὅπερ ἐςὶ τȣ̃ σώφρονος· καὶ μὴ τύπτειν, μή τε κακȣργεῖν, ὃ πραότητός ἐςιν. τὸ γὰρ χρῆσθαι πάσαις ἀρεταῖς πρὸς τὸ συμφέρον ἑαυτȣ̃ τε καὶ τῶν πέλας, τȣ̃τό ἐςιν ἡ δικαιοσύνη. ἣ ἔν τε τῇ ψυχῇ θαλαμευομέναις ταῖς ἀρεταῖς ὑπαγορεύει ὅπως δεῖ

CAP. XIII.

De Justitia.

JUstitia longe princeps est virtutum, virtusque perfecta, eminentissima, & quasi mater alma ac nutrix omnium virtutum, *res auro multo pretiosior*, ut Plato dixit, sanitasque & pulchritudo, concinnatas, pax & incolumitas animæ: operaque ejus sunt communicabilia, placida, sociabilia, commerciis accommoda & utilia: atque ipsa quasi domina quædam imperat omnibus virtutibus. Nam & prudentiæ & fortitudini & temperantiæ & mansuetudini non modo decus & ornatum tribuit, sed & definit unicuique facienda. Præcipiunt enim leges, ordinem non deserere nec fugam arripere, quod est viri fortis: non mœchari, nec contumeliosum esse, quod est continentis ac moderati: non percutere nec lædere, quod est mansuetudinis. Uti enim omnibus virtutibus ad suum vel aliorum commodum, hoc justitia est. Quæ & intus in anima se continentibus virtutibus dictat, quomodo sit utendum

* 1. de Rep.

χρῆσθαι

χρῆσθαι τοῖς ὑπεργοῦσι πάθεσι, δεῖ γὰρ ἔνδον ἐν ἑαυτῷ πρῶτον εἶναι δίκαιον· καὶ εἰς φῶς προάγουσα, διδάσκει ἐμμελῶς προσφέρεσθαι τῷ ὁμοφύλῳ, κήδεται γὰρ οὐ μόνον ἑαυτῆς, ἀλλὰ καὶ τοῦ πλησίον. » ἐπειδὴ ἕκαστος ἡμῶν οὐχ ἑαυτῷ μόνον γέγονεν, ὡς Πλάτων φησὶν, » ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι οἱ » γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι. ὑπογράφει ἄρα ἡ δικαιοσύνη τὰ ὀφειλόμενα τῇ πατρίδι τῇ γεννησάσῃ, καὶ θρεψάσῃ, πατρίδος δὲ μέρη, τὸ ἄρχον, καὶ τὸ ἀρχόμενον. οὐκοῦν ἀπὸ τῶν νόμων μανθάνομεν τά τε πρὸς τὸ ὑπερέχον, καὶ τὰ πρὸς τοὺς πολίτας καθήκοντα. τὸ δὲ τιμιώτατον ἐν τῇ πατρίδι οἱ θεῖοί εἰσι ναοὶ, ὑπὲρ ὧν προθύμως οἱ δίκαια καὶ ὅσια τιμῶντες, καὶ πολεμοῦσι, καὶ θνήσκουσιν, ἀέναον εὔκλειαν κτησάμενοι. πρόκεινται δὲ οἱ νόμοι οὐ μόνον ἀρχομένοις, ἀλλὰ καὶ ἄρχοντι, καὶ βασιλεῖ τὸ ἀνώτατον ἀνεζωσμένῳ κράτος. καὶ ταῖς μὲν ἀπὸ τῶν νόμων ποιναῖς μηδαμῶς εὐθύνεται βασιλεὺς, ἔχει δὲ τὸ θεῖον ἐπόπτευον. εἰ δὲ μὴ βιῴη δικαίως, καὶ ἕκαστα κατὰ τοὺς νόμους διοικοίη, δώσει θεῷ δίκας τῷ ἥκιστ' ἀνεχομένῳ ἀμαυροῦσθαι ἀνοσίαις πράξεσι τὸν θεῖον αὐτοῦ χαρακτῆρα. Ἐπιβάλλει δὴ τῷ

Ἐπισ. θ'. Ἀρχύτᾳ.

ministris affectibus, oportet enim prius intus apud se esse justum; & in lucem producens, docet apte & concinne tractare cives, non enim sui tantum curam agit, sed & sociorum. * *Quoniam non solum nobis nati sumus*, ut Plato ait, *ortusque nostri partem patria sibi vendicat, partem parentes, partem amici.* Præscribit ergo justitia quid patriæ debeamus quæ nos genuit & aluit; patriæ autem partes sunt, imperantes & subjecti. Igitur a legibus discimus debita & superioribus, & civibus officia. Res autem pretiosissima in patria sunt ædes sacræ, pro quibus æquo animo ii qui justa & sancta honorant, & pugnant, & moriuntur, sempiternam adepti gloriam. Propositæ autem sunt leges, non solum subjectis, sed & imperanti atque regi, qui summo præditus est imperio. Atque pœnis quidem legitimis haudquaquam coërcetur rex, sed habet inspectorem Deum. Si vero non vivat juste, nec singula secundum leges administret, luet Deo pœnas, qui non patietur obfuscari nefariis actionibus divinam suam imaginem. Competit autem imperanti splen-

*Epist. 9. ad Archytam.

 ἄρχοντι

ἄρχοντι τό, τε διορθωτικὸν καὶ τὸ διανεμητικὸν τῆς δικαιοσύνης μέρος λιπαρῶς ἀσκεῖν, καὶ ἀφ' ἑστίας, ὡς ἔπος εἰπεῖν, ἀρχόμενον ἐν τῇ ψυχῇ, ἐν τῷ οἴκῳ, ἐν ἁπάσῃ τῇ κατηκόῳ, μετὰ πολλῆς εὐρυθμίας δίκαιον παρέχειν ἑαυτὸν, καὶ διὰ παντὸς τὰ δέοντα ποιοῦντα, καὶ ἄλλους ἐς τοῦτ' αὐτὸ συνελαύνοντα. ἀσκήσει δὲ κατὰ προαίρεσιν καὶ ἑκουσίως τὴν δικαιοσύνην, καὶ γνώσεται ὃν, καὶ ᾧ, „ καὶ οὗ ἕνεκα πράττει. „

Ἔστι δὲ ἐν τῇ μείζονι, καὶ ἐλάττων πατρὶς ὁ οἶκος ἑκάστου. οὗ προΐσταται μὲν ὁ οἰκοδεσπότης, καὶ μιμητής ἐστι βασιλέως, ἅπαντα διεξάγων δικαίως ἅμα καὶ ὁσίως, γυναικὶ ἀγαπητῶς ὁμιλῶν, τὰ τέκνα παιδεύων, καὶ εἰς πᾶσαν ἀρετὴν τυπῶν, τοῖς δούλοις πράως ἅμα καὶ ἀρχικῶς χρώμενος. ὁ γὰρ οἰκίας * καλῶς προϊστάμενος, ἔσται καὶ πολίτης ἀγαθὸς, καὶ βέλτιον τοῦ δεσποζομένου οἶδε δεσπόζειν ὁ ἀφ' ἑστίας μεμαθηκὼς τὰ τοῦ δεσπόζειν καθήκοντα. οὐκοῦν δεσμὸς ἀδιάσπαστός ἐστιν ἡ δικαιοσύνη ἐπὶ φυλακῇ τῆς ἀνθρωπίνης κοινωνίας παρὰ θεοῦ χορηγηθείς. ἀναχαιτίζει γὰρ τοὺς ἀνθρώπους τῆς εἰς

Πλάτ. νόμ. δ'. ἀλλήλους ὕβρεως. σωφροσύνης γὰρ καὶ ὕβρεως ἐπίσκοπος οὖσα, „

dide exercere tam commutativam justitiæ partem, directricem commerciorum & contractuum, quam distributivam: & a Lare incipiendo, quod dicitur, ab anima, domi, in universa subjecta terra, cum magna moderatione justum se præbere, semper agere id quod est conveniens & decens, eoque compellere ceteros. Exercebit autem sponte & ultro justitiam, & sciet, *cui persona, quo medio, quo fine cujusque rei gratia agat.*

Aristot. 5. Nicom.

Est autem & continetur in majori etiam minor patria, domus cujusque. Cui præest paterfamilias, & imitator est regis, omnia regens juste simul & sancte, cum uxore amice agens, liberos erudiens & ad omnem virtutem formans, servis leniter simul & herili cum auctoritate utens. Qui enim familiæ bene præest, civis etiam erit bonus, meliusque scit imperare iis qui ei parent, is qui inde a Lare & domi didicit munia domini atque imperantis. Est itaque vinculum insolubile justitia, ad custodiendam humanam societatem divinitus datum. Refrænat enim homines a mutuis injuriis. * *Moderationis namque & injuriæ cum sit inspectrix, punit eos*

* Plato 9. de Legib.

κολάζει

,, κολάζει τοὺς δεομένους κολάσεως. καὶ οὐ μόνον μηδένα βλάπτει, οὔτε ἀφαιρεῖται τὰ ἀλλότρια, (τοῦτο γὰρ μόνον ἀγελαίου ἂν εἴη τῷ ἀπὸ τῶν νόμων δέει περαινόμενον,) ἀλλὰ καὶ εἰς ἄλλους μετοχετεύει τὰ ἔνδον ἀγαθὰ ταῖς εὐποιίαις ἁμιλλωμένη. καὶ τῷ μὲν ἄρχοντι παρεδρεύουσα, ἐπιτάττει τὰ δέοντα, πᾶσαν ὑπουλότητα τῆς ψυχῆς ὑπερορίζουσα. ὁ γὰρ δικαίως ἄρχων φανερός ἐστιν, ἐν ὑπαίθρῳ ζῇ, εὐπρόσιτος, τοὺς ἐνδεῶς ἔχοντας ἐπικουρίας μηδαμῶς ἀποποιούμενος, ἀλλ'
,, εὐμενῶς προσιέμενος, ἱλαρῷ τῷ ὄμματι προσβλέπει. διὸ ὁ προφήτης ψαλ. οα.
,, φησίν· ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου
,, τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς
,, πτωχούς σου ἐν κρίσει. ταῖς ὑπὲρ τὴν χρείαν εἰσφοραῖς οὐ κατατρίβει τὸ ὑπήκοον, ἐπιτάττει δὲ τὸ ἀνάλογον ἑκάστῳ. ἀνάλογον δὲ, τὸν τὰ πολλὰ κεκτημένον, πολλὰ εἰσφέρειν, τὸν δὲ ὀλίγα, ὀλίγα. πάντας ὠφελεῖ, περὶ πάντος καλῶς φρονεῖ, ἠπίως φθέγγεται, χεῖρας προτείνει τοῖς ἀδικουμένοις, οὐχ ὅπως αὐτὰς καταῤῥυπάνῃ λήμμασιν, ἀλλ' ἵνα πατάξῃ τὸν πλήξαντα, καὶ ἀνορθώσῃ τὸν εἰς γόνυ κάμ-
,, ψαντα. καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, ψαλ. οα.

qui pœna indigent. Atque non solum neminem lædit, nec aliena adimit (hoc enim vulgaris & plebeji tantum foret, formidine legum peractum) sed in alios etiam derivat interna bona, beneficiis certans. Et quidem principi assidens, imperat quod sit conveniens & decens, omnia animæ subdola exterminans. Qui enim juste imperat, apertus est, in propatulo vivit, accessibilis, auxilio indigentes nequaquam ablegans, sed propitius admittens, læto vultu adspicit. * Quapropter Propheta ait: *Deus judicium tuum regi da: & justitiam tuam filio regis: judicare populum tuum in justitia, & pauperes tuos in judicio.* Tributis non necessariis haud opprimit subjectos, indicit vero ex proportione cuique. Proportio autem est, multa possidentem multa conferre, pauca vero habentem, pauca. Omnibus præsidium est, omnibus bene cupit, clementer loquitur, manus protendit injurias patientibus, non ut eas sordidet muneribus accipiendis, sed ut feriat percussorem, erigat in genua prolapsum. *Et adorabunt eum* *Ps. 71, 2.
omnes reges terræ: omnes gentes Ps. 71, 11.

πάντα

πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, " καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός. προτιμᾷ τοῦ ἰδίου συμφέροντος τὰ " τῷ ὑπηκόῳ συνοίσοντα. πολιτικῇ γὰρ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον, " ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν. τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον " διασπᾷ τὰς πόλεις. ποινὰς ἐπιβάλλει, ὅπως ἀνακόψῃ τὸν ῥοῦν τῆς " κακίας, ἀλλ' ὀρθῷ λόγῳ ἐπιμετρεῖ τοῖς ἁμαρτήμασι τὰς κολάσεις, τὰ μὲν ἀτυχήματα ἐλεῶν, τὰ δὲ ἀδικήματα παιδεύων. τοῖς μὲν ἀκουσίοις τὴν συγγνώμην ἀπονέμων, ἅτε μεμνημένος ὅτι τὸ ἁμαρτάνειν κοινὸν πάντων ἀνθρώπων· τοῖς δ' ἑκουσίοις, ἐπιτιθεὶς τὰ φάρμακα. καὶ χρῆται μὲν ἐνίοτε σιδήρῳ καὶ πυρὶ, ἵνα μὴ γένηται τὸ κακὸν διαδόσιμον. ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται. δεῖ γὰρ " καὶ λυπηθῆναι τὸν λυπήσαντα, καὶ παραμυθίας τυχεῖν τὸν ὑβρισθέντα, καὶ ἐκ μέσου ἀρθῆναι τὰ μὴ ἰάσιμα. ἐπιμίξει μέντοιγε καὶ συγκεράσει τῇ αὐστηρότητι τῶν νόμων τὴν ἐπιείκειαν, καθ' ἣν τὸ ἐλλεῖπον ἀναπληροῦται τοῦ νόμου. οὐκ ἔσται τοίνυν ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον. τὸ γὰρ ἀπότομον ἀφόρητον, καὶ εἰς ἀπόνοιαν εἴωθεν ἐμβάλ-

Πλάτ. νόμ. θ'.

Ἱπποκ. ἀφορ. τμῆ. β'.

servient ei. Quia liberavit, pauperem a potente, & pauperem cui non erat adjutor. Præfert proprio commodo subjectis profutura. *Civili enim & veræ arti non proprium, sed commune debet esse curæ, commune enim connectit & conjungit, proprium autem divellit ac dirimit civitates.* Pœnas infligit, ut reprimat sceleris impetum, sed recta ratione admetitur supplicia delictis, infortunia miserans, injurias autem castigans: non-voluntariis ignoscens, memor quippe, peccare esse commune omnibus hominibus; voluntariis autem, medicinam applicans. Atque utitur quandoque etiam ferro & igne, ne malum propagetur, latiusque serpat: * *Quibuscumque medicamenta non medentur, ferrum medetur.* Oportet enim mœrere eum qui contristaverit, & solatium invenire, injuriam passum, tollique e medio insanabilia. Attamen admiscebit & adtemperabit austeritati ac severitati legum, æquitatem ac moderationem, per quam defectus legis suppletur. Non erit igitur summi juris rigidus observator in pejorem partem. Rigor enim & severitas, res est intolerabilis, & solet in desperationem conjicere;

* Hippocr. Aphor. Sect. 2.

Plato 9. Legum.

λειν,

λειν, τὸ δὲ πρᾶον καὶ ἥμερον, ἀῤῥενικώτερον, ἰσχύος τε καὶ νεύρων μεςόν. καὶ τοὺς μὲν ἀδικοῦντας ἐν ἐπιεικείᾳ κολάσει, τὴν δ' ἀρετὴν βραβείοις καὶ ἀμοιβαῖς περιθάλψει, καὶ πάντας ἐν τῷ καθήκοντι καὶ κοσμίῳ διατηρήσει, ὁτὲ μὲν χαλινοῖς, ὁτὲ δὲ κέντροις, ὡς ὁ καιρὸς καὶ τὸ δέον πείθει, χρώμενος. εἰ δὲ ἑτέροις ὑπακούειν ἔλαχεν ὁ δίκαιος, τηρεῖ τὴν ὁμόνοιαν, οὐ λυμαίνεται τὴν ἁρμονίαν, ὑποκλίνει τὸν αὐχένα, ὑποτάσσεται τοῖς νόμοις, καὶ ταῖς ἐπιταγαῖς τῶν ὑπερεχόντων, προθύμως εἰσφέρει τὴν ἐπιβάλλουσαν λειτουργίαν, ἀγαπᾷ τῇ καταςάσει τοῦ βίου ἣν ἐκληρώθη, ἀνοσίαις ὀρέξεσι καὶ ὁρμαῖς ἥκιςα χωρεῖ εἰς ἀξιωμάτων ἐπίτευξιν, οὐ πολυπραγμονεῖ τὰ αὐτῷ μὴ προσήκοντα.

Δικαιοσύνης δὲ οὐ μόνον τὸ μὴ ἀδικεῖν, ἀλλὰ καὶ τὸ μὴ ἀδικεῖσθαι. ἄμφω γὰρ φαῦλα καὶ τὸ ἀδικεῖσθαι, καὶ τὸ ἀδικεῖν, καὶ ἄμφω τοῦ μέσου ἔξω πίπτουσι. χρήσεται ἄρα ὁ δίκαιος τοῖς μὲν κοινοῖς ὡς κοινοῖς, τοῖς δὲ ἰδίοις ὡς ἰδίοις, ἀλλ' ἐπιδαψιλεύσεται μεταξὺ καὶ τοῖς ἐνδεῶς ἔχουσιν. ἴδια δὲ λέγεται, ἃ πρότερον ἡμεῖς κατελάβομεν μηδενὸς ἄλλου δεσπόζοντος, ἢ τὰ πολέμου νόμῳ κληθέντα, ἢ τὰ

contra lenitas & manſuetudo plus habet virilitatis, referta robore & nervis. Atque injuriam quidem facientes caſtigabit punietque, obſervans æquitatem; virtutem vero præmiis & remunerationibus fovebit: & cunctos in officio & decoro continebit, modo frænis modo ſtimulis, ut res & tempus ſuadet, utens. Ceterum vir juſtus ſi ea ſit ſorte ut aliis obediendum ei ſit, ſervat concordiam, non labefactat compagem, inclinat cervicem, ſubjicit ſe legibus & imperio ſuperiorum, æquo animo fungitur munere ſuo, contentus eſt vitæ ſtatu qui ei obtigerit, nefariis cupiditatibus & ſtudiis ad conſequendos honores non contendit, non eſt curioſus in iis quæ nihil ad eum attinent.

Eſt vero juſtitiæ non ſolum nemini nocere nec injuriam facere, ſed etiam non lædi nec injuriam pati; utrumque enim vitioſum, & facere & pati injuriam, & utrumque medio excidit. Utetur igitur juſtus communibus pro communibus, privatis ut ſuis: ſed largientur interim & indigentibus. Privata autem dicuntur, quæ prius nos occupavimus, non habentia alium dominum, aut bello parta, aut quæ pactio-

συναλλάγμασι καὶ συνθήκαις, ἢ κλήρῳ εἰς ἡμᾶς μεταπεσόντα. ὕτω γὰρ τὰ φύσει κοινὰ, ἴδια ἑκάστῳ γίγνεται, καὶ ὁ κεκτημένος, κύριός ἐστί τε καὶ ὀνομάζεται, καὶ πᾶσι δοκεῖ δίκαιον εἶναι τὸ ἕκαστον ἔχειν τὰ ἑαυτῦ. ὁ δὲ τῶν ἀλλοτρίων ἐφιέμενος, τὰ δίκαια τῆς ἐν ἀνθρώποις κοινωνίας λυμαίνεται· ἀλλὰ τὸ καὶ τῦς ἄλλυς ὠφελεῖν, ἐπίσημός ἐστιν ἀνθρώπῦ χαρακτήρ. ὐκῦν ταῖς ἀμοιβαδὸν μεταδόσεσί τε καὶ ἀντιδόσεσι τῶν καθηκόντων, μονονυχὶ εἰς μέσον προφέρειν ὀφείλομεν τὰ ὄντα, καὶ ἕπεσθαι τῇ κοινῇ μητρὶ τῇ φύσει, ἥγε ὠδίνει τὴν εἰς τὸ κοινὸν ὠφέλειαν. χεὶρ χεῖρα νίπτει,* δάκτυλός τε δάκτυλον. ἀμέλει τέχναις τε καὶ ἄλλοις ἔργοις, συνδέειν καὶ συναρμολογεῖν χρεὼν τὴν ματὰ τῦ ὁμοφύλυ κοινωνίαν. κρηπὶς δὲ δικαιοσύνης ἡ πίστις, τὸ ἐν λόγοις τε καὶ συνθήκαις ἔμμονον, καὶ ὑγιὲς, καὶ βέβαιον, καὶ ἀληθές. ἀδικίας δὲ εἴδη πολλὰ καὶ παντοδαπὰ, καὶ ἀδικῦσιν ὐ μόνον οἱ βλάπτοντες, ἀλλὰ καὶ οἱ δυνάμενοι μὲν, ὐ κωλύοντες δὲ τῦς ἀδικῦντας. καὶ ὁ μὲν ὑβρίζων καὶ προπηλακίζων, ἴσως ἢ θυμῷ, ἢ ἄλλῳ τῷ πάθει κινηθεὶς, εἰς τὸ ἀδικεῖν ἐχώρησεν· ὁ δὲ μὴ ἐπαμύνων

nibus & conventis, aut quæ ſorte ad nos recidere. Sic enim quæ natura fuerant communia, cuique fiunt propria, & poſſeſſor eſt, nominaturque dominus, & videtur omnibus juſtum eſſe, ut quisque ſua habeat; qui vero appetit aliena, jura humanæ ſocietatis labefactat & violat: ſed aliis etiam prodeſſe inſigne eſt hominis indicium. Quare mutuatione officiorum, dando & accipiendo, communes utilitates in medium quaſi afferre debemus, & in hoc naturam, communem matrem, ducem ſequi, quæ parturit & enititur communia bona; manus manum lavat, & digitus digitum. Nimirum tum artibus, tum opera, tum facultatibus, devincire oportet ac coagmentare hominum inter homines ſocietatem. Fundamentum eſt autem juſtitiæ fides, id eſt, dictorum conventorumque conſtantia, integritas, firmitas, & veritas. Injuſtitiæ autem multa & varia ſunt genera, atque injuſte agunt non tantum qui lædunt & nocent, ſed etiam qui, ſi poſſunt, non obſiſtunt injuriam facientibus. Atque is qui injuſte in aliquem impetum facit, forte aut ira aut alia quadam perturbatione incitatus, ad injuriam

ὑβριζο-

ὑβριζομένῳ τῷ πλησίον, λειποτάκτης ἐστὶ, περιορῶν τὸ ὁμόφυλον. τῶν τε ἐκ προνοίας ἀδικούντων ἔνιοι ἀδικοῦσιν ὑπὸ φόβου, τὴν ὑπονοουμένην ὕβριν ἀποσειόμενοι, καὶ περιποιούμενοι ἑαυτοῖς τὴν ἀσφάλειαν· οἱ δὲ πλείους εἰς ἀδικίαν τρέπονται, ἵνα τὴν ἑαυτῶν πλεονεξίαν ἐμπλήσωσι, καὶ κτήσωνται πλοῦτον, ὃς οὐ μόνον ταῖς περὶ τὸν βίον ἀναγκαίαις χρείαις ὑπουργεῖ, ἀλλὰ καὶ τῇ ἀπολαύσει δουλεύει τῶν ἀποπτύστων ἡδονῶν. ὁπόσοις δὲ μεγαλοψυχίας μέτεστι, χρημάτων ἐφίενται ἐπὶ μεγαλοπρεπείᾳ καὶ μεγαλοδωρίᾳ. καὶ τὸ μὲν μὴ ἀμελεῖν τῆς τῶν ὑπαρχόντων αὐξήσεως, ἔξω μώμου ἂν εἴη, μὴ μετὰ ὕβρεως γιγνόμενον. καὶ ὁ νόμος γὰρ κελεύει οὐσίαν κεκτῆσθαι, παντί
" τε ξυγγνώμη τὸ ἴδιον ἀγαθὸν ζητοῦντι. καὶ βίω μέρεα, κατὰ τὸν
" εἰπόντα, τά τε σώματος ἀγαθὰ, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ
" τᾶς δόξας, καὶ τὰ τῶν φίλων, συναρμογὰ δὲ ἁ κατ' ἀρετὰν καὶ
" νόμως τούτων σύνταξις. οἱ δὲ πλείους, ἀρχῆς καὶ ὑπεροχῆς ὀρεγόμενοι, καὶ ὑπὸ φιλοδοξίας τυφλώττοντες, δικαιοσύνης ὀλιγωροῦσιν. ἐκεῖνο δὲ ἐλέους ἄξιον, ὅτι τὸ φιλόδοξον καὶ τυραννικὸν ἐν ταῖς ἀριστο-

faciendam processit; qui autem non defendit socium injurias patientem, tam est in vitio, quam si parentes, aut patriam, aut socios deserat. Et eorum qui consulto injurias inferunt, aliqui id faciunt metu, contumeliam quam suspicantur, amolientes, sibique securitatem procurantes. Maximam autem partem ad injuriam faciendam aggrediuntur, ut adipiscantur ea quæ concupierunt & avaritiam suam expleant, & divitias acquirant: quæ non solum usibus vitæ necessariis serviunt, sed & perfruendis fœdis voluptatibus ministrant. In quibus autem major est animus, in iis pecuniæ cupiditas spectat ad magnificentiam, & ad munificentiam, gratificandique facultatem. Atque amplificatio quidem rei familiaris haud fuerit vituperanda, si nemini noceat. Nam & lex jubet facultates ac bona parare, & ignoscitur proprium bonum atque commodum quærenti: *atque vitæ partes*, ut quidam dicit, *sunt cum corporis bona, tum opum, tum gloriæ, tum amicorum, compages autem & horum, constructio virtuti & legi congrua.* Maxime autem adducuntur plerique, ut eos justitiæ capiat oblivio, cum in imperiorum & gloriæ cupiditatem inciderint. Illud autem est miserandum, quod gloriæ cupitates & tyrannidis affectatio in civitatibus quæ optima-

 κρατου-

κρατȣμένοις πολιτείαις, ταῖς μεγαλοφυεστάταις ὡς ἐπίπαν ἐπιφύεται ψυχαῖς. διόπερ ἐκεῖνοι ὃς ἡ φύσις ἐπιδαψιλευομένη ἐξαισίοις ἐκόσμησε προτερήμασι, κομιδῇ ἐπαγρυπνεῖν ὀφείλȣσιν ἑαυτοῖς, μή πȣ δόξης καὶ ἀρχῆς ἔρωτι παρασυρέντες, καὶ παρεκτραπέντες τȣ̃ δέοντος, ἀδικήσωσι τὸ ὁμόφυλον. ἐπὶ ὁποιαȣ̃ν δὲ ἀδικίᾳ πολύ τι διαφέρει, πότερον ἀπό τινος ταραχῆς εἰς τὸ ἀδικεῖν ὑπεσύρη ὁ ἀδικῶν, ἢ μεμελετηκὼς εἰς τὸ ὑβρίζειν κεχώρηκε; τὰ γὰρ ὑπὸ ὀτȣ̃ν πάθȣς αὐτοσχεδιαζόμενα κȣφότερά πως ἀπαντᾷν εἴωθεν, ȣ̓ δ' ἐπὶ πολὺ διαμένει· τὰ δὲ ἐκ παρασκευῆς, καιρίαν ἐπάγȣσι πληγήν. τὸ δὲ παραιτεῖσθαι τὴν ἄμυναν, καὶ ἀμελεῖν τῶν ἐν δέοντι καθηκόντων, διὰ πολλὰς αἰτίας εἴωθε γίγνεσθαι. καὶ ἢ νεανιευομένης δειλίας, ἢ

ΣοΦ. Σολ. κεφ. ιζ. φιλαυτίας, τὰς ἀπεχθείας ἀποδιδράσκομεν· "ȣ̓δὲν γάρ ἐστι φόβος, "εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμȣ̃ βοηθημάτων· ἢ ὑπὸ ῥᾳθυμίας, ἢ φειδωλίας περιορῶμεν τὸ ὁμόφυλον ὑβριζόμενον· ἢ κατ' ἰδίαν θεωρίαις καὶ μελέταις, ἑτέραις τε φροντίσι προσανακείμενοι, περὶ τὴν ἐπικȣρίαν ὑπτιάζομεν. οἱ δὲ τοιȣ̃τοι εἰ καὶ δίκαιοι εἶναι δοκȣ̃σι Πλάτωνι, ἀλλ' ȣ̓κ ἐντελῶς εἰσι δίκαιοι. θάτερον γὰρ μόνον μέρος

tium arbitrio reguntur, in maximis animis ſplendidisſimisque ingeniis exiſtunt. Quapropter ii qui naturæ indultu ingentibus ornati ſunt prærogativis, oppido invigilare debent ſibi ipſis, ne forte gloriæ aut imperii cupiditate abrepti & exorbitantes noceant ſocietati. Sed in omni injuſtitia permultum intereſt, utrum perturbatione aliqua animi abreptus eſt nocens, an conſulto & cogitato ad injuriam faciendam proceſſit. Leviora ſunt enim quæ repentino aliquo motu accidunt, nec diu durant; quæ vero meditata & præparata inferuntur, lethaliter feriunt. Prætermittendæ autem defenſionis, deſerendique officii, plures ſolent eſſe cauſæ. Et aut metu ſollicitante, aut proprio quodam ſtudio & amore, ſimultates & offenſiones fugimus, * *Nihil enim eſt timor, niſi proditio cogitationis auxiliorum :* aut negligentia, pigritia & inertia, aut occupationibus & parſimonia, negligimus ſocium injurias patientem: aut privatim ſtudiis ac ſpeculationibus, aliisque curis incumbentes & dediti, auxilio ſuperſedemus. Tales autem licet juſti videantur Platoni, non tamen perfecte ſunt juſti. Nam dum alterum juſti-

* Sap. 17, 11.

δικαιο-

δικαιοσύνης ἔνεστιν αὐτοῖς, τὸ μηδένα ἀδικεῖν, ἀδικοῦσι δὲ μὴ βοηθοῦντες τοῖς φίλοις.

Ἐκ δὲ τῶν εἰρημένων, ἑκάστῳ φανερὸν γενήσεται τὸ καθῆκον, εἴ γε μὴ φιλαυτήσας ἀμβλυωπήσει περὶ τὴν ἀλήθειαν καὶ τὸ δέον. ἐνίοτε δὲ συμβαίνει τὰ ἁπλῶς δίκαια ἀποβαίνειν ἄδικα, τοῦ τέλους διορίζοντος τὰς πράξεις. πᾶσα γὰρ πρᾶξις ἀπὸ τοῦ τέλους τὸ εἶδος λαμβάνει. δεῖ δὴ τὸ δίκαιον ὡς ἐπὶ κρηπῖδι ἐρηρεῖσθαι (ὡς ἔφθημεν εἰπόντες) ἐπὶ τῷ μὴ βλάπτειν τινὰ, καὶ τῷ ὑπουργεῖν ταῖς τοῦ κοινοῦ ὠφελείαις, καὶ ὡς πρὸς στάθμην ἀπευθύνειν δεῖ πρὸς ταῦτα τὰ ἀπὸ τῆς δικαιοσύνης ἀνακύπτοντα καθήκοντα· καὶ τὰ περὶ τὰς ὑποσχέσεις οὕτω πως οἰκονομεῖν. οὐ γὰρ ἀμοιροῦσιν ἐξαιρέσεων αἱ ὑποσχέσεις. καὶ οἱ ἀποτόμως ἀπαιτοῦντες τὰ ὑπεσχημένα, κἂν ἰσχυρὰ διαῤῥήδην εἴη τὰ κωλύοντα, παρὰ τὸ καθῆκον ἀπαιτοῦσιν αὐτά. πολλάκις γὰρ ἡ νόσος ἐμπεσοῦσα, ἢ ἄλλη τις αἰτία ἡ πρὶν λεληθυῖα εἰς φῶς χωρήσασα, ἀνέγκλητον ποιεῖ τὸν τὰς ὑποσχέσεις ἔσγε τὸ παρὸν παραιτούμενον. τὸν δὲ φόβῳ, ἢ ἀπάτῃ βιασθέντα εἴ γε μὴ ἐμμείνειε τῇ

tiæ genus aſſequuntur, inferenda ne cui noceant injuria, in alterum incidunt, ut eos quos tutari debeant, deſertos eſſe patiantur.

Ex iis quæ dicta ſunt, cuivis patebit officii ratio, niſi ſeipſum valde amans cæcutiat circa verum & id quod eſt conveniens quodque decet. Sed quandoque accidit, ut ea quæ ſimpliciter ſunt juſta, evadant injuſta, ſine diſtinguente actiones. Omnis enim actio a fine certam ſpeciem accipit. Oportet ergo id quod ſit juſtum, hoc quaſi fundamento inniti, (ut jam diximus) primum ut ne cui noceatur, deinde ut communi utilitati ſerviatur: atque veluti ad normam, ad hæc dirigenda ſunt officia, quæ a juſtitia emergunt & exiſtunt. Promiſſa etiam & conventa ſic fere ſunt diſpenſanda. Non enim deſtituuntur exceptionibus promiſſa & conventa. Atque ii qui præciſe flagitant promiſſa, etiamſi plane valida adſint impedimenta; non ita ut oportebat, ea exigunt. Sæpe enim morbus interveniens, aut alia aliqua cauſa, prius ſecreta, poſtquam apparuit, inſontem reddit eum qui promiſſa, in præſens prætermittit. Metu autem quis coactus, aut deceptus dolo, ſi non

ὑποσχέσει, δῆλόν ἐστιν ἐλεύθερον εἶναι μώμου. διὰ τοῦτο καὶ οἱ νόμοι ἐπιεικῶς διορίζουσι τὰ τοιαῦτα. ἀλλὰ καὶ ἡ μετὰ πανουργίας τῶν νόμων ἑρμηνεία, γόνιμος ὕβρεώς ἐστι, καὶ διὰ τοῦτό φασι, δικαιοσύνης ἀκρότητα, ἀδικίας ἀκρότητα εἶναι. οὐκοῦν εὐλαβητέον ἐν ὁποιωοῦν πράγματι τὴν ἐς ἄκρον ἀκρίβειαν, τὴν ἀπατῶσαν καὶ ἄγχουσαν. δεῖ δὲ φυλάττειν τὸ καθῆκον καὶ πρὸς τὸν ὑβρίσαντα καὶ ἀδικήσαντα, μηδὲ σφαδάζειν περὶ τὴν ἄμυναν. πάντων γὰρ μέτρον ἄριστον. ἱκανόν ἐστι μεταμεληθῆναι τὸν πταίσαντα, καὶ συγγνώμην αἰτήσασθαι, καὶ ἐπιτυχεῖν μετὰ τοῦ ἀσφαλοῦς, ὥστε αὐτόν τε καὶ τοὺς ἄλλους ἐς τοὐπιὸν τοῦ ὑβρίζειν ἀπέχεσθαι. καὶ ἐν πολιτείᾳ τοίνυν οὐ παραχαρακτέον τὰ τοῦ πολέμου δίκαια. περὶ ὁτουοῦν γὰρ διαφερομένοις, ἢ διαλέξεσιν, ἢ βίᾳ, τέμνεται τὸ ἀμφίβολον, καὶ ἀποκαθίσταται τὸ δίκαιον. καὶ ἡ μὲν διὰ λόγων θεραπεία ἀνθρώπῳ προσήκει, ἡ δὲ βία θηριώδης ἐστὶν ἄντικρυς. ἐξ ἀνάγκης ἄρα τῆς ἀπὸ τῶν λόγων προσηνοῦς θεραπείας ἀμοιρήσαντες, ἐς τὰ ὅπλα καταφεύγομεν. πολεμητέον δῆτα, ὅπως ἄνευ ὕβρεως εἰρήνης ἀπολαύωμεν. ματὰ δὲ τὴν νίκην, καὶ τῶν ἐχθρῶν

ſtet promiſſis, liquet eum liberari culpa. Idcirco etiam leges moderate talia definiunt. Sed & nimis callida ac malitioſa juris interpretatio ferax eſt injuriæ. Ex quo illud: Summum jus, ſumma injuria, factum eſt jam tritum ſermone proverbium. Quocirca in omni re fugienda eſt talis ſolertia, quæ decipit & angit. Sunt autem quædam officia etiam adverſus eos ſervanda a quibus injuriam acceperis, neque excedendum in ulciſcendo. Modus enim optimus in omnibus rebus. Satis eſt eum qui offenderit & laceſſierit, injuriæ ſuæ pœnitere, veniamque poſcere, & impetrare, cum hac cautione, ut & ipſe nequid tale poſthac committat, & ceteri ſint ad injuriam tardiores. Etiam in Rep. igitur conſervanda ſunt belli jura. Inter eos enim, qui de re quacumque diſſident, aut per diſceptationem, aut per vim deciduntur dubia, & jus reſtituitur. Ac medela quidem quæ ſit verbis propria eſt hominis, vis autem eſt omnino beluarum. Neceſſario igitur leni verborum remedio deſtituti, ad arma confugimus. Quare ſuſcipienda quidem ſunt bella ob eam cauſam, ut ſine injuria in pace vivatur; parta autem victoria, etiam hoſtibus parcendum.

φείδεσθαι

φείδεσθαι προσήκει. πάντοτε δὲ τὴν ἀσφαλῆ προτιμητέον εἰρήνην. „ ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. οὐκ ἔσται δὲ ὁ πόλεμος ἀκήρυκτος, ψαλ. λγ. ἀλλὰ προμηνύσαντες, ἐς ὅπλα χωρήσομεν, ἐπὶ ἀνακτήσει τῶν ἀδίκως ἀφαιρεθέντων. τοῖς δὲ πολίταις οὐκ ἔξεστι μὴ ἐπιτάττοντος τοῦ ἄρχοντος ἁρπάζειν τὰ ὅπλα, καὶ κατὰ τοῦ ὁμοφύλου χωρεῖν. μόνοις γὰρ τοῖς ἐννόμως στρατευομένοις ἐν μάχῃ παρατάσσεσθαι ξυγκεχώρηται. τοῖς δὲ τὰ τῆς φύσεως τιμῶσι νόμιμα, οὐδέποτ᾽ ἐξέσται ἔρωτι δόξης, καὶ γῆς πλεονεξίᾳ εἰς ὅπλα χωρεῖν. μηδαμῶς δὲ παραχαρακτέον τὰς πρὸς τὸ ἀντίπαλον ὑποσχέσεις, εἴ τε ἐνόμοτοι εἶεν, εἴ τε ἄλλως χωρήσαιεν. μιμησόμεθα δὴ τοὺς γενναίους ἄνδρας, οἳ προτετιμήκασι καὶ αὐτῆς τῆς ζωῆς τὴν πίστιν.

Οὔ τε τοὺς προδότας τιμήσομεν, ἀλλὰ ἀποσκορακίσομεν. τὰ δὲ τῆς δικαιοσύνης καθήκοντα, ἀπὸ τῶν ὑπερεχόντων μέχρι τῶν ἐσχάτων χωρεῖ. εἰσὶν ἄρα καὶ πρὸς δούλους καθήκοντα, ἃ μηδαμῶς ὀλιγωρητέον τοῖς ἀρετὴν καὶ δικαιοσύνην τιμῶσιν. ἐπειδὴ δὲ ἢ βίᾳ, ἢ ἀπάτῃ τὰ τῆς ὕβρεως περαίνεται, ἡ μὲν

Semper autem paci certæ ac tutæ, quæ nihil habeat inſidiarum, conſulendum. * *Inquire pacem, & perſequere eam.* Non autem niſi bello denunciato & indicto ad arma veniemus, pro recuperatione eorum quæ injuſte nobis adempta ſunt. Sed civibus non licet niſi imperante magiſtratu arripere arma, & in cives ac ſocios ruere. Iis enim ſolis qui legitime & ex ſacramento militant, in acie ad pugnandum conſiſtere licet. Ii vero qui jura naturæ honorant nunquam ſibi licitum putabunt, gloriæ cupiditate aut aviditate plus terræ habendi, ad arma procedere. Neque ulla ratione temerabimus fidem, ſive jurato ſive aliter adverſariis datam. Imitabimur ſcilicet generoſos illos homines, qui præpoſuere ipſi etiam vitæ fidem.

* Pſ. 33, 15.

Nec proditores æſtimabimus, ſed increpatos abigemus. Ceterum officia juſtitiæ ab eminentioribus uſque ad infimos procedunt. Dantur igitur officia etiam adverſus ſervos, nequaquam negligenda iis, qui virtutem & juſtitiam æſtimant. Cum autem duobus modis, id eſt, aut vi aut fraude fiat inju-

ἀπάτη

*ἀπάτη ἀλώπεκός ἐστιν, * ἡ δὲ βία λέοντος, ἀμφότερα δὲ παντάπασιν ἀπέοικεν ἀνθρώπῳ, ἀλλ' ἡ ἀπάτη μᾶλλον ἀποτρόπαιος.*

Περὶ τῆς εἰς θεὸν, καὶ εἰς ἑαυτὸν, καὶ εἰς τὸν πλησίον δικαιοσύνης, καὶ ὅτι πολύχους ἡ δικαιοσύνη, καὶ πολυειδῆ τὰ ἀπ' αὐτῆς πηγάζοντα καθήκοντα.

Κεφάλ. ιδ'.

Ματθ. κεφ. ε. Ἐπειδὴ δὲ αὐτοδικαιοσύνη ἐστὶν ὁ θεὸς, καὶ μακάριοι οἱ πεινῶντες καὶ « διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται, τὴν πρὸς « τὸν ἡμέτερον δημιουργὸν καὶ σωτῆρα δικαιοσύνην ἀσκήσομεν ὅλῳ σθένει, εὐσεβείᾳ, πίστει, ἀγάπῃ, ἐλπίδι, φόβῳ, φυλακῇ τῶν θείων
Ψαλ. ρια. ἐντολῶν. πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη, φησὶν ὁ Δαβίδ. ἑνὶ λόγῳ «
Δευτερ. κεφ. ς. τὰ τοῦ θεοῦ διδόντες τῷ θεῷ. Κύριον τὸν θεόν σου φοβηθήσῃ, καὶ « αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ. μιμούμενοι δὲ « θεὸν, ἐνδυσόμεθα τὸν θώρακα τῆς δικαιοσύνης, τὰς ἀτιμάλους τῇ θεοσεβείᾳ κῆρας ἀποκρουσόμεθα. ὄμοσον * τὴν Καίσαρος τύχην,

ria, fraus quaſi vulpeculæ, vis leonis videtur: utrumque alieniſſimum ab homine, ſed fraus odio digna majore.

CAP. XIV.

De Juſtitia erga Deum, cujusque erga ſeipſum, multifariam eſſe juſtitiam, officiaque inde manantia varia.

* Pſ. 118, 172. Matth. 5, 6. ** Deut. 6, 13. QVandoquidem autem Deus eſt juſtitia ipſa, & *Beati qui eſuriunt & ſitiunt juſtitiam: quoniam ipſi ſaturabuntur,* colemus & exercebimus juſtitiam erga Creatorem & Salvatorem noſtrum, totis viribus, omni pietate, fide, charitate, ſpe, timore, obſervatione divinorum mandatorum, * *Omnia mandata tua æquitas,* inquit David: uno verbo, quæ Dei ſunt dantes Deo, ** *Dominum Deum tuum timebis, & ipſi adhærebis, & illi ſoli ſervies.* Imitatores Dei, induemus loricam juſtitiæ, labes & peſtes religionis propulſabimus. *Jura per Genium Cæſaris:*

μετα-

„ μετανόησον, εἰπὲ, αἶρε τοὺς ἀθέους. ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ ἐκ τοῦ μαρ. τοῦ ἁγί. Πολυκ.
„ προσώπῳ εἰς πάντα τὸν ὄχλον τῶν ἐν ςαδίῳ ἀνόμων ἐθνῶν ἐμ-
βλέψας, καὶ ἐπισείσας αὐτοῖς τὴν χεῖρα, ςενάξας τε καὶ ἀναβλέψας
εἰς τοὺς οὐρανοὺς, εἶπεν, αἶρε τοὺς ἀθέους. περιφραξόμεθα τὸ ςῆθος
„ τοῖς ἀπὸ τοῦ πνεύματος ὅπλοις. ὑπερασπιεῖ ὁ βοηθός σου, καὶ ἡ δευτερ. κεφ. λγ'.
„ μάχαιρα καύχημά σου. ἀκλόνητοι ςησόμεθα ἐπὶ τῇ πέτρᾳ τῆς
ἀμωμήτου πίςεως οὔτε ἔργοις, οὔτε λόγοις, οὔτε ἐν σμικρῷ, οὔτε ἐν
μεγάλῳ, οὔτε ἰῶτα ἓν, οὔτε μίαν κεραίαν παρατρέψομεν, οὔτε ἄλλων
„ τὰ ἀκήρατα παραχαραττόντων ἀνεξόμεθα δόγματα. ἕως θανάτου, Σειρ. κεφ. δ'.
„ φησὶν, ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος ὁ θεὸς πολεμήσει
ὑπὲρ σοῦ. τί γὰρ ὠφεληθήσεται ἄνθρωπος εἰ ὅλον τὸν κόσμον κερδή-
σει, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσει θεῷ προσκρούσας; οὗ τὸ ἐν κρίσεσι
φοβερὸν ὁποιανοῦν ἀνειμένην ψυχὴν εἰς αἴσθησιν ἄξει. θεὸς γάρ ἐςιν
ἐκδικήσεων, καὶ ὥσπερ τοὺς εὐσεβεῖς εἰς υἱοθεσίαν ἀναλαμβάνει, οὕτω
„ τοὺς εἰς ἀσέβειαν ἐκτραχηλιζομένους καταβάλλει. ὅτι κύριος ὁ θεὸς δευτερ. κεφ. δ'.
„ πῦρ καταναλίσκον ἐςὶ, θεὸς ζηλωτής. καὶ, πῦρ ἐκκαίεται ἐκ τοῦ κεφ. λβ'.
„ θυμοῦ μου, φησί. καὶ, μεθύσω τὰ βέλημου ἀφ' αἵματος. καὶ ὁ προ-

*Resipisce: * Dic; Tolle impios. Tunc Polycarpus gravi ac severo vultu turbam omnem sceleratorum, qui in stadio erant, Gentilium contuens, manumque in eos intentans, simulque gemens ac in cœlum suspiciens, dixit: Tolle impios.* Muniemus pectus armis spiritualibus. ** *Proteget te auxiliator tuus, & gladius gloria tua.* Inconcussi stabimus super petra intaminatæ fidei, nec factis nec verbis, neque in majoribus minoribusque rebus, vel jota unum aut unum apicem deflectemus, nec alios puritatem doctrinæ adulterare patiemur. *Usque ad mortem*, inquit, *certa pro veritate, & Deus pugnabit pro te.* Quid enim proderit homini, si totum mundum lucretur, animam autem suam perdat, Deo offenso? Cujus in judiciis terror quamlibet animam remissiorem invadet & sentire faciet. Deus enim est ultionum, & sicut pios in filios adoptat, ita in impietatem ruentes dejicit ac prosternit. *Quia Dominus Deus tuus ignis consumens est, Deus æmulator.* Et, *ignis succenditur ex furore meo*, inquit, Et, *inebriabo sagittas meas sanguine.* Propheta item

* Epist. ad Polycarp.
Ecclesiastici, 4, 33.
** Deut. 33, 29.
Deut. 4, 24.
cap. 32, 22. 24.

Ψαλ. λϛ'. φήτης Δαβίδ. εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς "
κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα "
αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Φυλάξομεν δὲ τὰ πρὸς θεὸν "
δικαιώματα, ἀγαπῶντες αὐτὸν ὅλῃ ψυχῇ, καὶ καρδίᾳ, καὶ διανοίᾳ, αἰνοῦντες, εὐλογοῦντες, τῇ θείᾳ αὐτοῦ ἐπαναπαυόμενοι προνοίᾳ, φοβούμενοι τὴν κρίσιν, ἐλπίζοντες τὸν ἔλεον. ὁ μὲν γὰρ τοῦ θεοῦ φόβος εἰς ταπείνωσιν ἀλείφει, εἰς ἄσκησιν ἀρετῶν διεγείρει, χαλινός ἐστι νοὸς ἀκολασταίνοντος, καὶ παθῶν στασιαζόντων· ἀλλ' ἐπείπερ ἡ ἀντίπαλος κακία γειτνιάζει, καὶ ἐπιφύεται τῇ ἀρετῇ, ὁ σκαιὸς φόβος οἱονεὶ σὴς ἐπιβουλεύει τῇ εὐσεβείᾳ. διὰ τοῦτο ὁ πάνσοφος θεὸς ἐν δέοντι χορηγῶν τῇ ἡμετέρᾳ ἀσθενείᾳ τὰ κατάλληλα φάρμακα, πρὸς μὲν εὐσέβειαν κατεψυγμένοις, καὶ ὅλως ἀνοηταίνουσιν, ἀρχὴν σοφίας εἶναι διατρανοῖ τὸν φόβον, ἀπειλαῖς τε καὶ φόβῳ εἰς ἑαυτὸν ἡμᾶς συνελαύνει· εὐσεβοῦσι δὲ καὶ αὐτῷ ὅλως προσανακειμένοις, τὰς ἀπὸ τοῦ παραλόγου φόβου, καὶ τῆς δεισιδαιμονίας ἐπιβολὰς ἀνακόπτων, ἐπιτάττει
Γενεσ. κεφ. κϛ'. τὸ μὴ φοβεῖσθαι, ὡς τῷ Ἰσαάκ. καὶ ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ "
ἐκείνῃ, καὶ εἶπεν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, μὴ φοβοῦ, "

Ps. 36, 35. David: *Vidi impium superexaltatum, & elevatum sicut cedros Libani: & transivi, & ecce non erat: & quæsivi eum, & non est inventus locus ejus.* Observabimus autem jura & justitiam erga Deum, diligentes eum tota anima, & corde, & mente, laudantes, benedicentes, divina ejus providentia acquiescentes, metuentes judicium, sperantes misericordiam. Timor enim Dei ad humiliationem instruit, ad exercitium
* Gen. 26, 24. virtutis incitat, frænum est animi protervientis, & affectuum seditiosorum; sed quia contraria malitia vicina est & inhæret virtuti, pravus timor veluti tinea insidiatur pietati. Propterea sapientissimum Numen convenienter præbens nostræ infirmitati remedia, iis quidem qui frigent ad pietatem & plane desipiunt, initium sapientiæ esse timorem Domini declarat, minisque & metu ad seipsum nos compellit; vere autem piis ipsique devotis, inconsulti metus ac superstitionis impetus retundens, imperat, ne timeant, ut ipsi Isaac, * *Ubi apparuit ei Dominus in ipsa nocte, dicens: Ego sum Deus Abraham patris tui, noli timere,*

μετὰ

» μετὰ σοῦ γάρ εἰμι. καὶ τῷ Ἰακὼβ· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ Γένεσ. κεφ. κζ.
» πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ. καιρὸς ἄρα τοῦ φοβεῖσθαι,
καὶ καιρὸς τοῦ ἀνδρίζεσθαι. ἀμφιλαφοῦς τε φρονήσεως καὶ δικαιοσύνης
ἐστὶ τὸ ὀρθῶς διαιτᾶν ἀγάπῃ καὶ φόβῳ, ἡ γὰρ ἀσφαλὴς ἀγάπη
» ἔξω βάλλει τὸν φόβον. ἀγάπη κολλᾷ ἡμᾶς τῷ Θεῷ, ἀγάπη Κλήμ. Ῥώμ. ἀ. κορίν. κεφ. μθ'.
» καλύπτει πλῆθος ἁμαρτιῶν, ἡ ἀγάπη πάντα ἀνέχεται, πάντα
» μακροθυμεῖ, οὐδὲν βάναυσον ἐν ἀγάπῃ, οὐδὲν ὑπερήφανον, ἀγάπη
» σχίσμα οὐκ ἔχει, ἀγάπη οὐ στασιάζει, ἀγάπη πάντα ποιεῖ ἐν ὁμονοίᾳ.

Δικαιοσύνης δέ ἐστι τὸ ἀγαπᾶν ἑαυτόν τε καὶ τὸν πλησίον ὡς ἑαυτὸν, ὑποτασσομένους Θεῷ τῷ ἀμφότερα παρ' ἡμῶν ἀπαιτοῦντι. τοῦ γὰρ προπάτορος Ἀδὰμ καίτοι τὴν ἐντολὴν παραβάντος, καὶ τῆς ἀκηράτου ζωῆς καὶ τρυφῆς ἐκπεπτωκότος, φιλανθρωπίας περιουσίᾳ προνοεῖται πάλιν ὁ Θεὸς οἰκονομῶν τὰ εἰς φυλακὴν αὐτοῦ τείνοντα. καὶ οὐ μόνον γῆς ἐργασίαν, καὶ τῶν ἀπ' αὐτῆς καρπῶν τὴν περιποίησιν ἐν ἱδρῶτι ἀπὸ ἀκανθῶν καὶ τριβόλων ἐπιτάττει, ἀλλὰ καὶ τῇ ἀποκρούσει τοῦ ἀντιπάλου φυλακὴν καὶ σωτηρίαν ψυχῆς τε καὶ
„ σώματος διαῤῥήδην ἐγκελεύεται. αὐτός σου τηρήσει κεφαλὴν, καὶ Γέν. κεφ. γ'.

quia ego tecum sum. Et ad Jacob, * *Ego sum Dominus Deus Abraham patris tui & Isaac, noli timere.* Est ergo ubi timendum, est ubi viriliter agendum. Magnæ autem prudentiæ & justitiæ est, recte versari in timore & charitate. Certa enim & vera charitas eliminat timorem. ** *Charitas nos Deo agglutinat, charitas operit multitudinem peccatorum, charitas omnia tolerat, omnia æquo animo fert: in charitate nihil sordidum, nihil superbum: charitas schisma non habet; charitas seditionem non concitat: charitas omnia facit in concordia.*

Justitiæ autem est, diligere & seipsum, & proximum ut seipsum, subjiciendo se Deo, utrumque a nobis exigenti. Primo enim parenti Adam, quamvis mandatum prætergresso, quamvis pura vita intaminatisque deliciis excidisset, tamen clementiæ abundantia rursum prospicit Deus, dispensans res ad conservationem ejus necessarias. Ac non solummodo terræ culturam & fructus cum sudore percipiendos a spinis & tribulis imperat; sed etiam conservationem ac salutem animæ corporisque, propulsatione mali, manifeste injungit: *Ipse insidiabitur*

* Gen. 27, 13.

** Clem. Rom. Ep. 1. ad Cor. cap. 49.

Gen. 3, 15.



σὺ τηρήσεις αὐτοῦ πτέρναν. Φυλαξόμεθα ἄρα τούς τε ψυχικοὺς καὶ "
τοὺς σωματικοὺς ἐχθροὺς, πανταχόθεν ὡς θεῷ φίλον τὴν ἀσφάλειαν
Ψαλ. ις'. ἑαυτοῖς πραγματευόμενοι. Φύλαξόν με κύριε ὡς κόρην ὀφθαλμοῦ, "
ἐν σκέπει τῶν πτερύγων σου σκεπάσεις με, φησὶν ὁ Δαβίδ. καὶ "
κεφ. λ'. ὁ Σειρὰχ, ἀγάπα τὴν ψυχήν σου, καὶ παρακάλει τὴν καρδίαν σου. "
κεφ. λη'. καὶ πάλιν, τέκνον ἐν ἀῤῥωστήματί σου μὴ παράβλεπε, ἀλλ' εὖξαι "
κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε. ἀπὸ δὲ τῆς πρὸς θεὸν καὶ πρὸς
ἑαυτοὺς ἀγάπης, αὐτόματος πηγάζει καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη.
Ματθ. κεφ. ζ. ὅσα γὰρ ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς "
παρ. κεφ. κ'. ποιεῖτε αὐτοῖς. καὶ ὁ σοφὸς Σολομὼν, μέτρα δισσὰ ἀκάθαρτα "
κεφ. κς'. ἐνώπιον κυρίου. καὶ ἐν δευτερονομίῳ· οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου "
στάθμιον, καὶ στάθμιον μέγα ἢ μικρόν. Φυσικὸς γὰρ ἅμα καὶ θεῖος "
νόμος τὸ, ὃ σὺ μισεῖς ἑτέρῳ μὴ ποιήσῃς. ἀσθενῆ δὲ καὶ φροῦδα τὰ
παρ' ἐνίων λεγόμενα, πῶς ἄρα ὁ κριτὴς κατακρινεῖ τὸν φονέα μισῶν
τὸ ἑαυτὸν κατακριθῆναι εἴγε εἰς ὅμοιον ἔγκλημα περιπέσοι; ἀλλ'
ὀρθός ἐστιν ὁ νοῦς τοῦ νόμου, στροφαῖς λόγων μηδαμῶς κραδαινόμενος.

capiti tuo, & tu insidiaberis calcaneo ejus. Cavebimus ergo & vitabimus, tam spirituales quam corporales hostes, undecumque, sicut Deo gratum, securitatem nobismetipsis procurantes. *Custodi me Domine, ut pupillam oculi tui: sub umbra alarum tuarum protege me,* inquit David. Et Sirach: *Dilige animam tuam, & solare cor tuum.* Ac rursus, *Fili in tua infirmitate ne despicias teipsum, sed ora Dominum, & ipse curabit te.* A charitate autem erga Deum, & cujusque erga seipsum, ultro manat charitas erga proximum. *Omnia ergo quaecumque vultis ut faciant vobis homines, & vos facite illis.* Et Salomon ille sapiens, * *Mensurae duplices abominabiles apud Deum.* Et in Deuteronomio: ** *Non habebis in sacculo diversa pondera, majus & minus.* Naturalis enim simul & Divina lex est, *Quod tuipse odisti, alteri ne feceris.* Infirma autem & vana sunt quae a quibusdam dicuntur: Quomodo ergo damnabit homicidam judex, qui nollet seipsum damnari, si in idem incidat crimen? Verumenimvero rectus est & sanus legis sensus, nec versutiis aut fallaciis ullo modo quassatur. Tunc enim non ad eum

Ps. 16, 8. Ecclesiastici, 30, 23. cap. 38, 9. Matth. 7, 12. * Prov. 20, 10. ** cap. 26, 13.

τότε

τότε γὰρ οὐκ εἰς τὸν ἀδικήσαντα ἀποβλέπει ὁ κριτὴς, ἀλλ' εἰς τὸν ἀδικηθέντα, κἂν εἷς τις εἴη, κἂν ὅλον πολιτείας σύστημα. καὶ ὃ αὐτὸς μισεῖ, ἑτέρῳ μηδαμῶς ποίησει, ἀλλ' ὡς ἤθελεν ἀδικουμένῳ ἑαυτῷ διαιτηθῆναι τὴν κρίσιν, καὶ λαβεῖν τὸν ἀδικήσαντα ἀδεκάστῳ τῷ κρίνοντος ψήφῳ τὴν ἐπιβάλλουσαν τιμωρίαν· οὕτω δεῖ καὶ αὐτὸν ποιῆσαι, μηδαμῶς προπίνοντα ἀκαίρῳ οἴκτῳ τὸν πλησίον ὑβριζό-
„ μενον. καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, φησίν. οὐκοῦν ὃ σὺ μισεῖς, Ἐξοδ. κεφ. κγ'.
ἑτέρῳ μὴ ποιήσῃς, σὺ ἐμίσησας ἂν τὸν ἀπολύοντα τὸν φονέα δικαστὴν, μή τε σὺ ἄρα δικάζων αὐτὸν ἀπολύσεις, ἀλλ' ἐκεῖνα ἐπιτάξεις, ἅττα ὑπαγορεύει τὸ δίκαιον. πανταχοῦ γὰρ τὸ φιλάλληλον καὶ κοινωνικὸν ὁ
„ θεὸς ἡμῖν ἐπιτάττει. ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω Ματθ. κεφ. ιϛ'.
ἑαυτόν. ὁ δὲ ἀπαρνούμενος ἑαυτὸν, ὁ ἀποδυόμενος τὴν ἐπίμωμον φιλαυτίαν, ὁ εἰς τὴν πρὸς θεὸν ἀγάπην ἐκκαιόμενος, συντονώτερον φέρεται εἰς τὴν πρὸς τὸ ὁμόφυλον ἀγάπην, τὰς ψυχικάς τε καὶ σωματικὰς λειτουργίας εἰσφέρων, καὶ πάσῃ μηχανῇ ἐπικουρῶν, ἐπαμύνων, χεῖρας ὀρέγων, ἀνορθῶν, μηδενὸς φειδόμενος ὑπὲρ τοῦ πλησίον.

qui intulit injuriam, reſpicit judex, ſed ad eum qui accepit, ſive unus aliquis ſit, ſive univerſus civitatis cœtus. Et, quod ipſe odit, alteri neutiquam faciet, ſed ſicut vellet ſibi injuriam patienti adminiſtrari judicium, & eum qui fecit injuriam, ſufferre pœnam congruam, incorrupta judicis ſententia; ita & ipſi faciendum eſt, nec ullo modo deſerendus, intempeſtiva miſericordia, proximus injuriam patiens. **Pauperis quoque non miſereberis in judicio*, inquit. Ergo quod ipſe odiſti alteri ne feceris: ipſe odiſſes utique judicem qui homicidam abſolveret; nec tu igitur judicans, eum abſolves, ſed ea injunges, quæ dictat jus & juſtitia. Ubique enim mutuum amorem & ſociabilitatem Deus nobis injungit. *Si quis vult* Matth. 16, 24.
poſt me venire, abneget ſeipſum. Qui autem ſeipſum abnegat, qui exuit vituperabilem ſuipſius amorem, qui amore erga Deum exardeſcit; is majore cum contentione fertur in amorem ſocietatis, tam animæ quam corporis munia conferens, omnibus modis opem & auxilium ferens, manus protendens, erigens, nulli rei parcens pro ſocio. Amor

* Exod. 23, 3.

τὸ φιλάλληλον καὶ κοινωνικὸν διέλαμψεν ἐν τοῖς τοῦ σωτῆρος μαθηταῖς, διηύγασεν ἐν τοῖς ἁγίοις.

περὶ ἀγάπης. κεφ. ϛ'.

Καὶ πρὸς τοσαύτην ἀγάπην, ὁ μέγας φησὶ Μακάριος, μεθ' « ἡδονῆς οὐ λόγῳ ῥητῆς τοῦ πνεύματος ἐξεκαύθησαν, ὡς εἴγε ἦν δυνατὸν « ὅλως πάντα ἄνθρωπον τοῖς σπλάγχνοις ἐγκολπώσασθαι τοῖς ἰδίοις· « κακοῦ διαφορὰν τοπαράπαν ἀπὸ τοῦ ἀγαθοῦ μὴ ποιούμενοι. ὥσπερ « γὰρ ὁ θεὸς ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους, καὶ ἀδίκους, οἱ τὸν ἀγαθὸν καὶ δίκαιον θεὸν μιμούμενοι μεταδιδόασιν ἁπλῶς παντὶ ἀνθρώπῳ τῶν κοινῶν νομίμων. Ἐὰν συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου, « ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ. οἱ « γὰρ δικαιοσύνην ἀσκοῦντες αὐτοῦ τοῦ δικαίου καταστοχάζονται, ἑκάστῳ τὸ ἴδιον ἀποδιδόντες. ὁπηνίκα γὰρ περὶ δικαιοσύνης ὁ λόγος, κἄν τε ἀλλόφυλος εἴη, ἀποδοτέον αὐτῷ τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ ὁ Κῦρος ἐπιτιμᾶται παρὰ Ξενοφῶντι ἐπὶ τῇ τῶν ἱματίων διανομῇ, οὐδὲ γὰρ τοῦ ἁρμόττοντος ἦν κριτής, ἀλλὰ τοῦ δικαίου. τί δὲ δικαιότερον τοῦ ἀγαπᾷν τὴν σωτηρίαν ἁπάντων; κἂν γὰρ μοχθηροὶ εἶεν, οὐδὲν ἧττον χρήζουσι τῆς ἀγάπης καὶ τῆς κηδεμονίας, ὥσπερ οἱ νοσοῦντες ἰατρῶν,

Ἐξοδ. κεφ. κγ'.

mutuus & ſocietatis atque communitatis, enituit in diſcipulis Salvatoris, eluxit in Sanctis.

Macarius de Charitate. cap. 6.

Et interdum tanto amore, cum voluptate ſpiritus verbis non exprimenda, inflammati ſunt, inquit Magnus Macarius, *ut, ſi fieri poſſit, omnem prorſus hominem, ſine diſcrimine boni, mali, innocentis, ſcelerati, intra ſua viſcera colligere charitatis, & fovere cuperent.* Sicut enim Deus oriri facit ſolem ſuper juſtos & injuſtos, ita ii qui imitantur Deum, bonum & juſtum, impertiunt ſimpliciter & ſine certo reſpectu omni homini communia jura. *Si occurreris bovi inimici tui, aut jumento erranti, reduc & redde.* Qui enim juſtitiam colunt, id ipſum quod eſt juſtum ſpectant, ſuum cuique tribuentes. Quando enim de juſtitia agitur, etiamſi aliegena quis ſit reddendum ei, quod ei debetur & quod eſt conveniens. Quocirca etiam Cyrus reprehenditur apud Xenophontem ob veſtium diſtributionem, neque enim congrui erat judex, ſed juſti. Quid autem juſtius quam amare ſalutem omnium? Licet enim ſint improbi, nihilominus indigent charitate & curatione, ut ægrotantes medicis: juſtitia vero

Exod. 23, 4.

ἡ δὴ

ἡ δὴ δικαιοσύνη ἡμερότητα καὶ ἀγάπην πνεῖ. ἀσκήσομεν δὲ δικαιο-
,, σύνην ἐν ἑαυτοῖς, χαλινὸν ἐπιτιθέντες τῷ νοΐ. τίς ἐπιςήσει ἐπὶ τοῦ Σοφ. κεφ. κγ'.
,, διανοήματός μου μάςιγας; τῆς πρὸς τὰς αἰσθήσεις καὶ τὴν φαντα-
σίαν ἀκράτου ὁμιλίας αὐτὸν ἀπείργοντες, ἵνα μὴ ταῖς ἀθεμίτοις
,, μίξεσι καινὰ καὶ ἀλλόκοτα κυοφορήσας θεοῦ τε χωριζόμενος, καὶ εἰς
,, γῆν ὅλως κατασπώμενος, ἀφροσύνης δίκας ὀφλήσει. ἀτελεσφό- σοφ. Σολ. κεφ. γ'.
,, ρητα γὰρ μοιχῶν τέκνα. τό, τε ἀπὸ τῶν αἰσθήσεων ἀπαιτεῖν τοὺς
ὑπερφυεῖς τῆς θείας προνοίας λόγους, μοιχεία ἐςὶν ἄντικρυς παρα-
παίοντος, καὶ ἀλαζονεία μεθύοντος νοός. δικαιοσύνην τιμήσομεν ὡς
ὑπουργοῖς χρώμενοι τοῖς πάθεσι, τὰς ἐκτόπους ὁρμὰς καὶ τὰ
φρυάγματα θυμοῦ τε καὶ ἐπιθυμίας καταςέλλοντες. μετὰ δικαιο-
σύνης χρησόμεθα τοῖς τοῦ σώματος μέρεσιν, ἐν δέοντι σιωπήσομεν,
καὶ ἐν δέοντι τὰ δέοντα φθεγξόμεθα, λόγων δαψιλείᾳ ψυχὴν
,, κάμνουσαν παραμυθησόμεθα. λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ. Σοφ. κεφ. ς'.
ἐνίοτε δὲ πρὸς ἀσφάλειαν ἑαυτῶν, καὶ πρὸς οἰκοδομὴν τοῦ πλησίον
τὰ ὄντα σιωπῇ καλύψομεν, τοὺς ἀρίςους τῶν ἰατρῶν καὶ τῶν ςρατη-
,, γῶν μιμησάμενοι. θοῦ κύριε φυλακὴν τῷ ςόματί μου, καὶ θύραν ψαλ. ρμ'.
,, περιοχῆς περὶ τὰ χείλη μου, εὐχόμενος ἔλεγεν ὁ βασιλεὺς καὶ

mansuetudinem & charitatem spirat. Exercebimus autem justitiam, frenum imponentes menti nostræ, * *Quis superponet in cogitatu meo flagella?* ab immoderato cum sensibus & imaginatione commercio eam arcentes, ne ex profanis commistionibus imprægnata monstris, & a Deo separata atque in terram omnino deducta, insipientiæ rea fit. ** *Filii autem adulterorum in incosummatione erunt.* Atque exigere a sensibus immensas illas providentiæ divinæ rationes, mœchatio plane est delirantis & arrogantia ebriæ mentis. Justitiam colemus, tamquam ministris utentes affectibus, nimios impetus & fremitus iræ atque concupiscentiæ sedantes. Juste & digne utemur corporis nostri partibus & membris, ubi opus tacebimus, ubi opus loquemur quæ decet loqui, largitate verborum animam quæ affligitur consolabimur. *Verbum dulce multiplicat amicos.* Aliquando autem ad securitatem nostram, & ad ædificationem proximi, rei veritatem tegemus, imitando præstantissimos belli duces & medicos. *Pone Domine custodiam ori meo, & ostium circumstantiæ labiis meis*, orans dicebat regius

* Ecclesiastici, 23, 2.

Ecclesiastici, 6, 5.

** Sap. Sal. 3, 16.

Psal. 140, 3.

προφή-

προφήτης, καίτοιγε ὡς βασιλεὺς μηδένα φοβούμενος, καὶ ὡς προφή-
Σειρ. κεφ. κή. της ἐπιστάμενος φθέγγεσθαι τὰ δέοντα. καὶ ὁ Σειρὰχ, τοῖς λόγοις σου "
ποίησον ζυγὸν καὶ σταθμόν. τὴν ἀλήθειαν παντὸς τιμήσομεν· ἀλή- "
θεια γὰρ ὁ θεός. ἕκαστον οὐ μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν
ἀψύχων τοῖς κυρίοις ὀνόμασι καλέσομεν, τὰ σῦκα σῦκα, * τὴν σκάφην
ἔλεγον οἱ Ἀθηναῖοι. καὶ Κρατύλος παρὰ Πλάτωνι, ὀνόματος ὀρθό- "
τητα εἶναι ἑκάστῳ τῶν ὄντων φύσει πεφυκυῖαν φησίν. ὁρισμὸς γὰρ "
συνεσταλμένος ἑκάστου τὸ ὄνομα, καὶ οἱ περὶ τὰ ὀνόματα πταίοντες, περὶ
Ἐπιστ. β'. Πολυκ. εἰς τὴν πρὸς Ῥωμ. λόγ. λά. τὴν γνῶσιν τῶν πραγμάτων πταίουσιν. ἐξ ὀνόματος πάντας ζήτει, "
ὁ θεοφόρος φησὶν Ἰγνάτιος. καὶ ὁ θεῖος Χρυσόστομος, ἔστι καὶ ἀπὸ "
ὀνομάτων ψιλῶν μέγαν εὑρεῖν θησαυρὸν, πολλῶν γάρ ἐστι πραγμάτων "
ὑπομνήματα. οἱ δὲ ἐν λόγοις δίκαιοι οὐκ ἀντιφθεγγομένους ἔχουσι τοὺς
λόγους τοῖς ἔργοις. ἄλλως γὰρ, ὅμοιοι ἔσονται τοῖς ἀπατῶσι τοὺς ἀγο-
ράζοντας, κενὰ διδόντες ἀγγεῖα τοῖς ἐπὶ οἴνῳ ἢ μέλιτι κέρματα κατα-
παροι. κεφ. ιβ'. κεφ. η'. βαλοῦσι. βδέλυγμά, φησι, κυρίῳ χείλη ψευδῆ. καὶ, μετὰ δικαιοσύ- "
νης πάντα τὰ ῥήματα τοῦ στόματός μου. εἰ δ' ἑτέρου φθεγγομένου, "
ἀκαίροις λόγοις ἀπαντήσομεν μὴ περιμείναντες, παραχαράξομεν τὰ

Ecclesiastici, 38, 19.
* In Epist. ad Rom. Homil. 31.
Plato in Cratylo.
** Prov. 22.
* cap. 8, 8.
Epist. 2. ad Polycarpum. 31.

Propheta David, quamvis, ut rex, neminem timens, & ut propheta sciens loqui convenientia. Et Sirach, *Verbis tuis facito stateram.* Veritatem maxime omnium æstimabimus, Deus enim est veritas. Non tantum hominem quemque, sed & rem quamque inanimem propriis vocabulis appellabimus, ficus, ficus, scapham, scapham, dicebant Athenienses. Et Cratylus apud Platonem, *Nominis notationem esse cuilibet rei naturalem*, dicit. Definitio enim brevis & compendiaria cujusque rei, est nomem: quive circa nomina offendunt, ii circa cognitionem rerum offendunt. *Ex nomine omnes quære*, inquit Ignatius Theophorus. Et divus Chrysostomus, * *Possumus in puris nominibus magnum invenire thesaurum, multarum enim rerum habent commonitionem.* Homines autem justi in verbis, non dissona neque contraria rebus loquuntur. Alioqui similes erunt iis, qui emptores decipiunt, inania tradentes vasa iis, qui pro vino aut melle pecuniam solverunt. ** *Abominatio*, inquit, *est Domino, labia mendacia.* * Et, *Justi sunt omnes sermones mei.* Si vero alterius sermoni intempestive obloquamur, finem non expectantes, depravabimus of-

καθήκοντα

καθήκοντα τῆς ὁμιλίας, ἀδικήσομεν τὰ ὦτα τὰ εἰς ὑποδοχὴν τῆς
„ ἀπὸ τῶν λόγων ἀρδείας ἀναπεταννύμενα. ἀδικήσομεν δὲ κἂν σιωπῶ- ψαλ. ριγ'.
„ μεν, εἰ τοῖς λεγομένοις μὴ προσέχωμεν. ὦτα γὰρ ἔχουσί, φησι, καὶ
οὐκ ἀκούσονται, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται· ὀφθαλμῶν δὲ
ἀδικία οὐ τὸ μὴ ὁρᾶν μόνον, ἀλλὰ καὶ τὸ περιέργως ὁρᾶν ἃ μὴ δέον.
χεῖρας ἀδικόσομεν μὴ ἐς ὕμνον θεοῦ ἐκτενῶς αὐτὰς αἴροντες· ἁρπάζον-
„ τες, δώροις καταῤῥυπαινόμενοι. ἐξόλλυσι γὰρ ἑαυτὸν ὁ δωρολήπτης. παροι. ις'.
„ μὴ ὄντες πρὸς ἐργασίαν ἐντρεχεῖς. ὁ γὰρ ἀργὸς μὴ ἐσθιέτω, φησί. Παῦ. β'. θεσσ. κεφ. γ'.
„ καὶ ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις. οὐκοῦν ἐν ὁτουοῦν πράγματος παροι. κεφ. ιε'.
χρήσει, πολλαὶ ἀνακύπτουσιν ἀφορμαὶ δικαιοσύνης καὶ ἀδικίας. εἰ γὰρ
ὁ κάμνων οὐ τὸν ἰατρὸν, ἀλλὰ τὸν φίλον εἰσκαλεῖται, ἀδικεῖ διαῤῥήδην
ἑαυτόν τε, ταὶ τὸν ἰατρὸν, καὶ τὸν φίλον, μὴ ἀποδιδοὺς ἑκάστῳ τὰ
προσήκοντα. ἄδικος ὁ παρὰ τῶν κολάκων φιλίας ἀληθοῦς καρποὺς
ἑαυτῷ μνηστευόμενος, ὁ τοῖς φίλοις μὴ εἰς θωπείαν ἀποκλίνουσιν ὀργι-
ζόμενος. ὀφείλει γὰρ ὀργίζεσθαι τοῖς κολακεύουσι, καὶ διαπαντὸς
„ εὐλαβεῖσθαι τὴν ἀπ' αὐτῶν λύμην, λέγων μετὰ τοῦ Δαβίδ, ῥῦσαι ψαλ. κα'.

ficia ſermocinandi, lædemus aures, patentes ad recipiendam irrigationem a verbis. Injuſte autem agemus, quamvis taceamus, ſi iis quæ dicuntur non attendamus. * *Aures* enim *habent*, inquit, *& non audient. Oculos habent, & non videbunt.* Oculorum autem injuſtitia eſt, non ſolum non videre, ſed & curioſe videre ea quæ non oportet. Etiam manibus injurii erimus, non ad laudem Dei enixe eas tollentes, ſed rapientes, muneribus accipiendis eas contaminantes, ** *Perdit enim ſeipſum qui munera accipit:* ſi non ſimus ad laborandum ſolertes, *Quoniam ſi quis non vult operari, nec manducet*, inquit. Et, *Viæ pigrorum ſtratæ ſpinis.* Itaque in cujuſcumque rei uſu variæ emergunt occaſiones juſtitiæ & & injuſtitiæ. Si enim ægrotus non medicum, ſed amicum accerſat, injuriùs omnino eſt erga ſeipſum, erga medicum, & erga amicum, non reddens cuique convenientia. Injuſte agit qui ab adulatoribus veræ amicitiæ fructus captat, qui amicis ad blandiendum haud pronis iraſcitur. Debet enim ſuccenſere adulantibus, ſemperque formidare ab ipſis labem, dicens cum David, *Erue a framea*

Paul. 2. Theſſ. 3,:10.
Prov. 15, 19.
* Pſ. 113, 5. 6.
** Prov. 16, 27.
Pſal. 21, 21.

O ἀπὸ

ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου."
κύνες γάρ εἰσιν οἱ ἐπίτριπτοι κόλακες, καὶ λείχοντες δάκνουσιν. ἄδικος
ὁ πιστεύων, καὶ παραττόμενος ψευδέσι ὑπονοίαις, καὶ ψιθυρισμοῖς,
ἐξοδ. κεφ. κγ΄. καὶ ταῖς ματαίαις τῶν ἀστρολόγων προῤῥήσεσι προσέχων. Θεὸς γὰρ
ψαλ. δ΄. κελεύει, οὐ παραδέξῃ ἀκοὴν ματαίαν. καὶ ὁ Δαβὶδ, ἵνα τί ἀγαπᾶτε "
κδ΄. ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; καὶ, αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες "
λθ΄. διὰ κενῆς. ἐπαινεῖται δὲ, ὃς οὐκ ἐπέβλεψεν εἰς ματαιότητας, καὶ "
μανίας ψευδεῖς. παραπαίουσι δῆτα οἱ ἐπτοημένοι ταῖς τῶν ἀστρολόγων
ψευδολογίαις, τὰ γὰρ ἐπὶ μέρους προνοίᾳ καὶ προαιρέσει διοικεῖται.
οὐδ᾽ ἔχουσιν οὕτω κινήσωσιν οἱ ἀστέρες τὴν ἡμετέραν προαίρεσιν, τὴν μή
δευτερ. κεφ. λ΄. τε παρὰ τοῦ πλάσαντος ἡμᾶς βιαζομένην. ἰδοὺ δέδωκα πρὸ προσώπου "
σου σήμερον τὴν ζωὴν, καὶ τὸν θάνατον, τὸ ἀγαθὸν, καὶ τὸ κακόν. "
ἄδικος ὁ ἔρωτι χρυσοῦ καὶ ἀργύρου τοῖς περὶ χημείαν πόνοις στρεβλῶν
τὴν φύσιν, ἑαυτόν τε καὶ τοὺς ἄλλους φενακίζων, καὶ ἐθελοντὶ
κακουργῶν, ὅμοιος τῷ ἐν θαλάσσῃ θηρῶντι λαγωοὺς, καὶ ἐν ὄρεσιν
ἰχθῦς διώκοντι. ἀφώρισε γὰρ ὁ δημιουργὸς τῇ ἑκάστου γενέσει τόπον

Deus animam meam, & de manu canis unicam meam. Canes enim ſunt perditiſſimi iſti adulatores, & lambendo mordent. Injuſte agit qui credit & turbatur inanibus ſuſpicionibus & ſuſurrationibus: qui vanis Aſtrologorum prædictionibus attendit. Deus enim præcipit, *Non ſuſcipies vocem mendacii.* Et David, *Ut quid diligitis vanitatem, & quæritis mendacium?* Et *Confundantur omnes iniqua agentes ſupervacue.* Contra laudatur, *Qui non reſpexit vanitatem & inſanias falſas.* Delirant igitur qui terrentur aſtrologorum mendaciloquiis; partialia enim providentia voluntate & atbitrio adminiſtrantur ac digeruntur. Neque habent ſtellæ quo moveant noſtrum arbitrium, quod quidem nec a Creatore coactum habemus. * *Conſidera quod hodie propoſuerim in conſpectu tuo vitam & bonum, & e contrario mortem & malum.* Injuſtus, qui amore auri & argenti, chemicis laboribus torquet naturam, ſeque ipſum & alios fallit, ſponte maleficus & impoſtor, ſimilis venanti lepores in mari, & in montibus piſces ſectanti. Deſtinavit enim Deus cujusque generationi locum convenientem,

* Deut. 30, 15.
Exod. 23, 1.
Pſal. 4, 3.
Pſal. 24, 4.
Pſal. 39, 5.

κατάλ-

κατάλληλον, καὶ ὅριον ἔθετο τοῖς οὖσιν, ὃ οὐ παρελεύσονται. ἀμέλει ἀδικία μεγίστη τὸ μάτην καταδαπανᾶν τὸν πολυτελέστατον τοῦ χρόνου θησαυρόν. ἀδικεῖ πᾶς τις ἑαυτὸν καὶ τὰ κοινὰ, μὴ μετιὼν ἐκεῖνα,
„ πρὸς ἅττα παρὰ τῆς φύσεως εὖ διάκειται. ἕκαστον ὡς κέκληκεν ὁ Παύλ. α. Κορινθ. κεφ. ζ.
„ κύριος, οὕτω περιπατείτω. καὶ ὁ μὲν ἠπειρώτης νηὸς ἐπιβαίνων, καὶ ἁπτόμενος πηδαλίου, ὡς ἄδικος ναυαγήσει· ὁ δὲ θαλάσσιος γεωργίᾳ ἑαυτὸν ἐπιδοὺς, τοὺς πλέοντας ἀδικήσει, καὶ αὐτὸς κακῶς ἀπαλλάξει. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. καὶ ὁ θεῖος Διονύ- Ἐπιστ. Δημοφ.
„ σιος, ἕκαστος ἐν τῇ τάξει τῆς λειτουργίας αὐτοῦ ἔσται, καὶ οὐ περιστρα-
„ φήσεται τάξις ἐπὶ τάξιν. ὁ ξυλουργὸς ξυλουργικὰ πραττέτω, μηδεὶς
„ χαλκεύων ἅμα τεκταινέσθω, φησὶν ὁ Πλάτων, μὴ δ' αὖ τεκταινό- βιβλ. ή. νόμ.
„ μενος χαλκευόντων ἄλλων ἐπιμελείσθω μᾶλλον, ἢ τῆς αὐτοῦ τέχνης. ὁ ἰατρὸς τὰ περὶ τὴν ἰατρικὴν ἀσκείτω, ὁ κουρεὺς τὰ ἑαυτοῦ πραττέτω, μηδὲ βασιλεῖ παριστάμενος ὡς πολιτικὸς συμβουλευέτω. ὁ θεῷ δουλεύων, εὐχαῖς προσανακείσθω, αὐλικαῖς φροντίσι μὴ συμφυρέσθω. ὁ ἄρχων μὴ χρήμασιν, ἀλλὰ ταῖς ἐνούσαις ἀρεταῖς τὰς προσηκούσας
„ λειτουργίας νεμέτω. δεκτὸς γὰρ βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ Παροιμ. κεφ. ιδ'.

terminumque posuit rebus, quem non excedent. Certe summa est injustitia frustra consumere pretiosissimum temporis thesaurum. Injuste agit, & erga seipsum, & erga publicum, quisquis ea non sequitur ad quæ a natura bene dispositus est. * *Unumquemque sicut vocavit Deus, ita ambulet.* Et mediterraneus quidem, navem conscendens ac gubernaculum contingens, ut injurius, naufragium patietur; maritimus autem agriculturæ se dedens, erga navigantes iniquus erit, ipseque male defungetur opere. Quisque in ea vocatione in qua vocatus est maneat. Et divus Dionysius, *Unusquisque in ordine functionis suæ erit, & non convertetur ordo in ordinem.* (Epist. 8. ad Demoph.) *Lignarius ad lignarium pertinentia tractet; nemo faber ferrarius simul sit tignarius*, inquit Plato; *Nec tignarius fabros ferrarios magis curet quam suam artem.* (8. de Legib.) Medicus medicinam colat, tonsor suas partes agat; neque regi assistens tamquam politicus consultet. Qui Deo servit, precibus sit devotus, aulicis curis ne se immisceat. Princeps non divitiis, sed virtuti congruas functiones tribuat. *Acceptus enim est regi minister intelligens, & agili-* (Prov. 14, 35.)

* 1. Cor. 7, 17.

Ἰωάν. κεφ. γ'. ἑαυτῷ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν. ὁ βασιλεὺς τῇ δικαιοσύνῃ τὴν “
ἐπιείκειαν κεραννύτω, καὶ πραῢς ἔστω μαχητής, ὡς ὁ προφήτης φησί. “
μεμνήσθω μὲν ὅτι οὐ μάτην φορεῖ τὸ διάδημα, οὐ μάτην δίδωσι τὸ
νόμ. θ'. ξίφος· ἀλλὰ μεμνήσθω τοῦ Πλάτωνος λέγοντος, ἀλλ' ἄνθρωποί τε, “
ψαλ. οζ'. καὶ ἀνθρώπων σπέρμασι νομοθετοῦμεν τανῦν. καὶ ὁ θεῖος Δαβίδ, “
Γρηγ. Θεο. ἐπιστ. κ'. καὶ ἐμνήσθη, φησὶν, ὅτι σάρξ εἰσιν. οὐδὲν γὰρ δεινὸν ποιοῦσιν οἱ δήμιοι, “
καὶ γὰρ ὑπηρετοῦνται νόμοις, οὐδὲ τὸ ξίφος παράνομον, ᾧ τοὺς πονηροὺς “
Οὐηριαν. Θεοτέκνῳ. κολάζομεν, ὁ θεολόγος φησίν. ἀλλὰ πάλιν ὁ αὐτός· καὶ μή σε ἀπα- “
τάτω μάταιος λογισμὸς, ὅτι τὸ δικαίως ἐπεξελθεῖν, ἀνεύθυνον, “
καὶ τὸ παραδοῦναι τοῖς νόμοις τὸν παρανομήσαντα. εἰσὶ νόμοι “
Ῥωμαίων, εἰσὶ καὶ ἡμέτεροι, ἀλλ' οἱ μὲν, ἄμετροι, καὶ πικροὶ, καὶ “
μέχρις αἱμάτων προϊόντες· ἡμῖν δὲ, χρηστοὶ καὶ φιλάνθρωποι, καὶ “
μὴ συγχωροῦντές τι τῷ θυμῷ χρῆσθαι τατὰ τῶν ἀδικούντων. καὶ “
ὁ θεῖος Διονύσιος, οἱ ἀλόγως θρασυνόμενοι, ἐννόμῳ δίκῃ σωφρονεῖν “
ἀναγκάζονται εἰπὼν, πάλιν τὴν τῶν προβάτων ἐπιεικεστάτην ποιμαντι- “
κὴν ἐπαινεῖ. οὐκοῦν εἰρήνην βασιλεὺς ἀσπαζέσθω. ἣν καὶ εἰς γῆν φοιτή-
σας, καὶ ἐν γῇ διατρίψας, καὶ εἰς οὐρανὸν ἀνιὼν, ὡς κλῆρον ἀκήρατον

tate ſua adimit ignominiam. Rex
miſceat juſtitiæ æquitatem ac mo-
Joel. 3, 12. derationem, & *Manſuetus ſit pugna-
tor*, ùt Propheta ait. Cogitet, non
fruſtra ſe geſtare diadema, non
fruſtra tradere gladium; ſed recor-
9. de Legib. detur Platonis, qui dicit, *Sed nos,
qui ſumus homines, hominum generi
jam ferimus leges.* Et David vir Dei,
Pſ. 77, 39. *Et recordatus eſt quia caro ſunt.*
Creg. Theo. Epiſt. 20. *Nihil enim atrox faciunt carnifices,
etenim ſerviunt legibus: neque gladius
eſt ſceleratus, quo malos punimus,*
inquit Theologus. Sed rurſus idem
Verian. Theotecno. ille: *Ne te decipiat vana cogitatio,
ac ſi juſte perſequi, ac legibus tradere,
eum qui deliquerit, inculpabile ſit.
Extant leges Romanorum, extant & noſtræ; ſed illæ quidem enormes immoderatæ & amarulentæ, & ad ſanguinem uſque procedentes: noſtræ autem ſuaves & clementes, non permittentes iracundia uti adverſus lædentes.* Et divus Dionyſius cum dixiſſet, *Qui inconſulte & temere ferociunt, ii legitimo jure ſapere & frugi eſſe adiguntur*, e contrario opilionum mitiſſimam artem laudat. Igitur pacem rex amet, quam & in terras veniens, & in terris commorans, & in cœlum aſcendens, tamquam hæreditatem illi-

ὁ δεσπό-

ὁ δεσπότης ἡμῖν παρακατέθετο, ἀλλ' ὑπὲρ θεοῦ ἐνδυέσθω ἐν δέοντι
» τὰ ὅπλα. καὶ κολάζων, καὶ τιμῶν διάκονος θεοῦ ἐστιν, ἐκδικῶν Ἰωάν. χρυσο. εἰς τὴν πρὸς Ῥωμ. κεφ. ιγ΄.
» ἀρετὴν, ἀπελαύνων κακίαν, ὅπερ ὁ θεὸς βούλεται. καὶ ἐν τοῖς μεγί-
» στοις εὐεργέτης σου γίγνεται, εἰρήνης ὢν πρόξενος, καὶ οἰκονομίας πολι-
» τικῆς. καὶ γὰρ μυρία ἀγαθὰ διὰ τῶν ἀρχῶν τούτων ταῖς πόλεσι
» γίνεται. κἂν ἀνέλῃς αὐτὰς, πάντα οἰχήσεται, καὶ οὐ πόλεις, οὐ
» χωρία, οὐκ οἰκία, οὐκ ἀγορὰ, οὐκ ἄλλο οὐδὲν στήσεται, ἀλλὰ πάντα
» ἀνατραπήσεται, τῶν δυνατωτέρων τοὺς ἀσθενεστέρους καταπινόντων.
» ὥστε καὶ εἰ μὴ ὀργή τις εἵπετο τῷ παρακούοντι, καὶ οὕτως ὑποτάσσε-
» σθαί σε ἐχρῆν, ἵνα μὴ δόξῃς ἀσυνείδητος εἶναι, καὶ ἀγνώμων περὶ τὸν
» εὐεργέτην. καὶ, οὐδὲ γὰρ μικρόν τι συντελοῦσιν ἡμῖν εἰς τὴν τοῦ παρόν-
» τος βίου κατάστασιν, ὅπλα τιθέμενοι, τοὺς πολεμίους ἀποκρουόμενοι,
» τοὺς ἐν ταῖς πόλεσι στασιάζοντας κωλύοντες, τὰς ἐν πᾶσι διαφορὰς
» διαλύοντες. καὶ ὁ ἱερὸς Ἰσίδωρος· ἔστιν ὦ σοφὲ καὶ πόλεμος εὐαγὴς, βιβλ. δ΄. ἐπιστ. λϛ΄.
» καὶ εἰρήνη πάσης ἀσπόνδου μάχης ἀργαλεωτέρα. κατὰ τὸ, ἐζήλωσα
» ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν. λησταὶ μὲν γὰρ πρὸς

batam, Dominus nobis deposuit; sed pro Deo induat, ubi opus, arma. * *Sive puniat, sive honore afficiat, minister Dei est, virtutem vindicans, malitiam abigens, id quod Deus ita vult. Et in maximis tibi benefacit, dum pacem & administrationem politicam procurat. Nam innumera bona civitatibus per magistratus istos proveniunt. Quos si sustuleris, omnia simul pessum ibunt: ita ut neque urbes, neque agri, neque domus, neque forum, aut aliquid aliud, consistere queat, sed simul omnia subvertantur, potentioribus imbecilliores impune devorantibus. Itaque etiamsi inobedientiam nulla ira consequeretur, sic quoque tamen subjici te oportebat, ne conscientia carere videaris, atque erga beneficum ingratus.* Et, *Neque enim parum nobis ad præsentis vitæ statum conducunt, arma expedientes, hostes propulsantes, seditiosos in urbibus coërcentes, quasvis ubique controversias dissolventes.* Et sanctus Isidorus, *Est, o vir erudite, & bellum sanctum ac justum, & pax omni implacabili pugna tætrior, secundum illud Psalmi, Zelavi super iniquos, pacem peccatorum videns. Nam latrones qui-*

* Joan. Chrys. in Epist. ad Rom. cap. 13.

Lib. 4. Epist. 36.

*ἀλλήλοις σπένδονται, κατὰ τῶν μηδὲν ἀδικούντων ὁπλιζόμενοι· λύκοι δὲ «
συναγελάζονται, ὅταν αἱμάτων διψῶσι. καὶ ὁ μὲν μοιχὸς εἰρηνεύει πρὸς «
τὴν μοιχευομένην, ὁ δὲ πόρνος πρὸς τὴν πορνευομένην. μὴ τοίνυν πανταχοῦ «
τὴν εἰρήνην νόμιζε εἶναι καλὸν, ἔστι γὰρ πολλάκις παντὸς πολέμου χαλε- «
πωτέρα. ὅταν γάρ τις πρὸς τοὺς κατὰ τῆς προνοίας ὑλακτοῦντας εἰρη- «
νεύῃ, καὶ πρὸς τοὺς τοῖς βίοις ἀχρείοις τὴν κοινὴν θολοῦντας καὶ λυμαινο- «
μένους πολιτείαν σπένδηται, οὗτος τῶν τῆς εἰρήνης ὅρων πόῤῥω που ἐσκή- «
νωται καὶ μακράν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, εἰ δυνατὸν τὸ ἐξ ὑμῶν «
μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. σαφῶς γὰρ ἠπίστατο, ὅτι ἔστιν «
ὅπου οὐ δυνατόν. καὶ, σοφὸν ἔχων ἀληθείας ἐξεύρημα τὸ πολυειδὲς τῶν «
βασάνων μηχάνημα, χρῆσαι τῷ φόβῳ πρὸς τὴν κρίσιν, ἐπειδὴ «
φόβον σε τοῖς κακοῖς ὁ θεῖος νόμος ὡρίσατο. καὶ, εἰ φίλος εἶναι βούλει «
θεοῦ, ἄρχε κραταιῶς. καὶ, κατανόησον οὖν ἀσύνετε, εἰ ὡς ὁ Μωϋσῆς «
ἐφόνευσας, ἢ ὡς ὁ Φινεὲς ἐζήλωσας, ἢ ὡς Σαμουὴλ ἤμυνας θεῷ, ἢ ὡς «
Ἡλίας ἐξεδίκησας, καὶ τότε μέγα φρόνει ἐφ᾽ οἷς ἐτόλμησας. εἰ δὲ «
οὔτε νόμος σέ τις ἐχειροτόνησεν, οὔτε πολέμου τάξις ἐξώπλισεν, οὔτε «*

τοῦ αὐτοῦ βιβλ. ά. ἐπιστ. ριϛ'. ἐπιστ. σϙ'. ἐπιστ. σϙζ'.

dem inter se paciscuntur, contra eos qui nulla re ipsos lædunt, armati. Sed & lupi congregantur, quoties sanguinem sitiunt: & adulter cum adultera pacem colit, & scortator cum scorto suo. Noli igitur existimare pacem ubique & per omnia bonam esse, est enim sæpenumero quovis bello durior & deterior. Nam cum quis pacem colit cum ejusmodi hominibus, qui adversus providentiam latrant, & cum iis qui vita nullius pretii atque improba communem vitam turbant & vastant, fœdus ferit: hic longe longeque a pacis terminis submotus degit. Quæ causa quoque erat ut Paulus dixerit: Si fieri potest, quod in vobis est, cum omnibus hominibus pacem habentes. Probe enim noverat, interdum fieri non posse. * Et, *Cum sapiens veritatis inventum habeas, multiplicem tormentorum machinam, terrore ad judicium utere, quandoquidem te terrorem improbis divina lex constituit.* ** Et, *Si Dei amicus esse studes, fac robuste præsis.* Et, *Animadverte, o stolide, num ut Moyses cædem perpetraveris: aut ut Phinees, zelo exarseris: aut ut Samuel, divinam injuriam ultus sis: aut ut Elias, impietatis vindicem te præbueris: ac tum ob admissum facinus magnifice de te senti. Quod si nec lex ulla te designavit, nec belli ordo armavit,*

* Ejusd. Lib. 1. Epist. 116.

** Epist. 290.

θεῖος

» θεῖος χρησμὸς ἐπαφῆκε τῷ ὁμοφύλῳ σου αἵματι, καὶ αὐτοῖς τοῖς
» ἐχθροῖς ἀγάπην σπευδόμενος, καλόν σοι νῦν ἀφαιμάξαι τὰς χεῖρας,
» ἐπιδόντι τὸ οἰκεῖον αἷμα πρὸς ἔκχυσιν, ἢ τηρῆσαι κατὰ ψυχὴν τὸ
» παράπτωμα, καὶ τοῖς ἐκεῖθεν δικαστηρίοις πρὸς αἰωνίαν φυλάττεσθαι
» κόλασιν.

Πολεμείτω ἄρα ὑπὲρ θεοῦ ὁ ἄρχων, ἀλλὰ μὴ ὑπὲρ τὰ ἐσκαμ-
μένα χωρείτω. ἀδικεῖ δὲ ὁ ἄρχων καὶ μὴ φειδόμενος ἑαυτοῦ, τῆς
» ὑγείας ἀμελῶν, ἡδοναῖς κατατριβόμενος. τίς γὰρ δοξάσει τὸν ἀτι- Σειρ. κεφ. ι.
» μάσαντα τὴν ζωὴν αὐτοῦ; ἀδικεῖ μὴ μόνον ὡς κάλαμος ὑπὸ ἀνέμου
σαλευόμενος, ἀλλ' ἐνίοτε ἀδικεῖ, ὀλεθρίου σταθηρότητος προσχήματι,
τὰ ἀσφαλῆ καὶ συνοίσοντα τοῦ τε καιροῦ καὶ τῶν πραγμάτων ὑποτι-
» θεμένων, μὴ μεταβαλλόμενος εἰς δέον. πάντα κατὰ λόγον ποιέοντι, Ἱπποκ. τμή. β. ἀφο. νβ.
» καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, φησι,
» μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς· ἐκείνου δὲ μεταβαλόντος, τὸ ἐπί-
* μονον διαῤῥήδην ἐπίμωμον. διὸ καὶ ὁ θεῖος Παῦλος οὐκ αἰσχύνεται τοῖς
πᾶσι τὰ πάντα γιγνόμενος. ἄδικος ὁ ἄρχων ὁ μὴ εἰδὼς μέτρα αὐστη-
» ρότητος καὶ πραότητος. δίκαιοι γὰρ οἰκτείρουσι καὶ ἐλεοῦσιν· ὁ μὴ παροι. κεφ. ιγ.

nec divinum oraculum te ad tribulis tui profundendum sanguinem immisit, quod potius cum ipsis inimicis charitatem præcipit: satius tibi nunc fuerit, ut imbutas cruore manus tuas expies, & cruorem tuum effundendum dedas, quam ut animo scelus retineas, ac futuræ vitæ tribunalibus ad sempiternum cruciatum serveris.

Pugnet igitur princeps pro Deo, sed terminos ne excedat. Injuste autem agit princeps etiam cum sibi non parcit, cum sanitatem negligit, cum voluptatibus atteritur ac diffluit, **Quis enim glorificabit exhonorantem animam suam?* Injurius est, non solum quando ut arundo a vento agitatur, sed etiam nonnumquam quando perniciosæ constantiæ prætextu, occasione & rebus tutiora & profutura suggerentibus, opportune non mutatur. *Si quis omnia convenienter exactoque judicio faciat, nihil tamen ea ratione efficiat, tamen ad aliud ne transeat*, inquit, manente adhuc primo decreto; sed mutato, constantia omnino est vituperanda. Quare divus etiam Paulus non veretur omnibus omnia fieri. Injustus est princeps, modum severitatis & clementiæ ignorans, *Justi enim misericordes sunt & mise-*

Hippocr. Sect. 2. Aphor. 52.

* Ecclesiastici 10, 31.

Prov. 13, 13.

διακρί-

διακρίνων τοῦ ἑκουσίου τὸ ἀκούσιον, ἀλλὰ ἀνοσίῳ ἰσότητι τὰς ὁμοίας
Ἰγνατ. ἐπις. β'. Πολυκ. πᾶσιν ἐπιτρίβων ποινάς. οὐ πᾶν τραῦμα τῇ αὐτῇ ἐμπλάστρῳ θερα- "
πεύεται. ἀδικεῖ τὴν γῆν ὁ μὴ σπείρων, μήτε ἀρδεύων, καρποὺς δὲ
παροιμ. κεφ. ιά. ὀνειροπολῶν ἀποδρέψασθαι. ἐκ καρποῦ γὰρ δικαιοσύνης φύεται δένδρον "
ζωῆς. ἀδικεῖ ὁ παρὰ τῆς μηλέας ἄπια ἀπαιτῶν, καὶ παρὰ τῆς
ἐλαίας μῆλα. ὁ ἀπὸ τῶν νέων ἐντελῆ ζητῶν ἀρετὴν, τοῖς δὲ γεγηρα-
κόσι πονεῖν ἐπιτάττων. ἀδικεῖ ὁ παρὰ τῶν αὐλικῶν τὰ εἰς ψυχῆς
θεραπείαν τείνοντα ἀνερωτῶν, ἐν δὲ πολιτικοῖς καὶ πολεμικοῖς μετὰ
τῶν μοναζόντων συμβουλευόμενος. ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐκεῖ καὶ
μενέτω. καὶ ὁ ἱερὸς Διονύσιος, εἰδέναι βούλεται ἕκαστον καὶ δρᾶν τὰ "
ἑαυτοῦ. καὶ ὁ ἅγιος Μάξιμος, εἰ καὶ τὰ εἰκότα τὶς ποιεῖ, παρὰ τὴν "
οἰκείαν δὲ τάξιν τε καὶ ἀξίαν, καὶ οὗτος τὸ ἐφικτὸν ὑπερβαίνει, "
δικαίως γὰρ τὰ δίκαια μεταδιώκειν προσήκει. ἀδικοῦσιν οἱ μὴ ἐς παι- "
δοποιΐαν καὶ οἰκονομίαν, καὶ βίου παραμυθίαν ταῖς γυναιξὶ χρώμενοι,
ἀλλὰ ξυγχωροῦντες *αὐταῖς τοῖς εἰς σωτηρίαν πολιτείας ἀνήκουσιν ἐπ'
παρ. κεφ. ιδ'. ὀλέθρῳ τοῦ κοινοῦ ἐγκαταμίγνυσθαι. σοφαὶ γὰρ γυναῖκες ᾠκοδόμησαν "

rantur: qui non distinguit voluntarium a non-voluntario, sed nefaria parilitate similes omnibus infligit poenas. (Ignat. Epist. 2. ad Polycarp.) *Non omne vulnus eodem emplastro curatur.* Injurius est circa terram, qui nec serens nec rigans, fructuum tamen perceptionem somniat & imaginatur. (Prov. 11, 30.) *Ex fructu enim justitiæ nascitur arbor vitæ.* Injuste agit, qui a malo pira postulat, & ab olea mala: qui a junioribus consummatam virtutem requirit, senio autem confectis labores injungit. Injuste agit qui ab (*Prov. 4, 1.) aulicis ad curam animæ pertinentia postulat, in politicis autem & bellicis negotiis cum monachis consultat. Quisque in quo vocatus est, ibi etiam maneat. Sanctus etiam Dionysius *scire vult quemque & agere res suas.* Et sanctus Maximus: *Etiamsi probabilia quis faciat & rei convenientia, sed præter ordinem & dignitatem suam, hic etiam officium transgreditur, justa enim juste persequi convenit.* Injuste agunt, qui non ad procreandos liberos, nec ad rem familiarem, nec ad vitæ solatium utuntur mulieribus, sed sinunt eas negotiis reipublicæ, ad perniciem societatis, immisceri, * *Sapientes enim mulieres ædificant domum;* sed ubi

οἴκους·

οἴκυς· ἐπεισφρήσασαι δὲ πολιτείαις, κατέςρεψαν ἄρδην αὐτάς. δικαιοσύνην δὲ ἀσκήσει καὶ ςρατηγὸς καὶ ἄρχων, παρ᾽ ἑκάςυ ἀνερευνώμενος καὶ μανθάνων ἅπερ ἕκαςος οἶδε. καὶ πολλὺς ἴσμεν τῇ τοιαύτῃ δεξιότητι καὶ ἀγχινοίᾳ, ἐξ αὐτοσχεδίυ ἔν τε πολιτείᾳ καὶ ςρατηγίᾳ, κατά τε εἰρήνης καὶ πολέμυ καιρὸν, ἀρίςυς ἀποβῆναι μέχρι θαύματος. ὐκ ἀπαναινομένυς μανθάνειν παρὰ τῦ ςρατιώτυ τὰ ςρατιωτικὰ, παρὰ τῦ νομικῦ τὰ νομικὰ, παρὰ τῦ μηχανικῦ τὰ μηχανικὰ, παρὰ τῦ ναυπηγῦ τὰ ναυπηγικὰ, παρὰ τῦ ἰατρῦ τὰ ἰατρικὰ, παρὰ τῦ πνευματικῦ τὰ πνευματικά. * ὐκ ἔςι δὲ μείζων ἀδικία τῦ ἄδικον ὄντα δικαιοσύνην ὑποκρίνεσθαι. ὁ νήφων ἄρα τὰ τῦ νήφοντος, ὁ μεθύων τὰ τῦ μεθύοντος, ὐδὲν ἀηδέςερον μεθύοντος ὁπηνίκα νήφειν ὑποκρίνηται. ὁ θεολόγος τὰ ἑαυτῦ, ὁ φιλόσοφος τὰ ἴδια, μὴ συμπεφύρσθω τὰ ἐπίγεια τοῖς ὐρανίοις. καὶ ὁ μὲν πένης ἀλαζονευόμενος, ὁ δὲ ἄρχων εἰς ἀφέλειαν καὶ χυδαιότητα ὑποσυρόμενος, ἀδικεῖ μὴ εἰδὼς φυλάττειν τὸ ἀξίωμα, σοβαρότητι μὴ κεραννὺς τὸ φιλόφρον, καὶ εὐέντευκτον. ὁ νέος ὡς κηφὴν περιιὼν, ἀδικεῖ τὴν νεότητα. καὶ

ſe reipublicæ negotiis ingeſſere, funditus eam evertunt. Juſtitiam autem exercebit etiam dux atque princeps, ex quolibet quærens ac diſcens, quæ quisque ſcit. Novimusque multos ejusmodi dexteritate atque ſagacitate, levi negotio, tam in civilibus quam in militaribus rebus adminiſtrandis, & belli & pacis tempore, præſtantiſſimos evaſiſſe, ad admirationem uſque. Qui non recuſavere diſcere, a milite rem militarem, a jurisperito jurisprudentiam, a mechanico res mechanicas, a navali fabro, ad fabricationem navium pertinentia, a medico, medicinalia, a ſpirituali, ſpiritualia. Non eſt autem major ulla injuſtitia, quam ſi quis injuſtus, juſtitiam ſimulet. Sobrius ergo ut ſobrius, ebrius ut ebrius agat: nihil tædioſius ebrio ſobrium ſimulante: theologus ſua, philoſophus ſua, nec commiſceantur terrena cœleſtibus. Ac pauper quidem arroganter ſe jactans: princeps autem in ſimplicitatem & vulgarem vilitatem prolabens, injurius eſt, neſciens ſervare dignitatem, ſeveritati non admiſcens comitatem & affabilitatem. Adoleſcens inſtar fuci incedens, lædit

ὁ γέρων εἰς ἀκολασίαν, ἢ πολυεργίαν ἑαυτὸν βιαζόμενος, γῆρας ἀδικεῖ. ὁ φιλάργυρος ἐγκαθειργνὺς τὸν ὀφειλόμενον τῇ χρήσει πλȣ̃τον, ἀδικεῖ. ὁ δειλὸς ἀδικεῖ τὴν ἀνδρείαν, ἐπειδὰν εἰς αὐτὴν καλλωπιζόμενος ἀνονήτȣς αἱρεῖται κινδύνȣς. ὁ ἰδιώτης εἰς μεγαλοπρέπειαν νεανιευόμενος, ἀδικεῖ ταυτηνὶ τὴν ἀξιάγαστον ἀρετὴν, τὴν ἐμπρέπȣσαν μόνοις τοῖς ἄρχȣσιν. ἀδικεῖ φιλίαν ὁ ἐξ ἡμισείας αὐτὴν τιμήσας, καὶ τȣ̃ φίλȣ δυστυχήσαντος λειποτακτῶν. ἀδικεῖ φιλίαν ὁ μὴ ἀνακοινȣ́μενος τὰ ἐν τῇ καρδίᾳ τῷ φίλῳ, ἀδικεῖ δὲ καὶ ἑαυτόν. καρπὸς γὰρ φιλίας ἡ πολιτικὴ ἐξομολόγησις, ἡ διαφορȣ̃σα τȣ̀ς συμπνίγοντας καὶ ἄγχοντας τὴν καρδίαν ἰωδεστάτȣς λύπης ἢ φόβȣ χυμȣ́ς. καὶ ἄδικος μὲν ὁ κολακείᾳ φθείρων τὸ ἱερὸν τῆς φιλίας χρῆμα· ἀδικεῖ δὲ ȣ̓δὲν μεῖον καὶ ὁ μὴ τρέφων τὴν φιλίαν ἀληθεῖ ἐπαίνῳ, λόγοις προσηνέσι, θεραπείαις, προσρήσεσι, καὶ τοῖς ἄλλοις τοῖς καθήκȣσι φιλίᾳ. ἀδικεῖ τὸν πλȣ̃τον ὁ κατασπαθῶν τὰ ὄντα· ἀλλ' ἐνίοτε ὁ ὀβολȣ̃ μὴ φειδόμενος, οἰκονομίαν ἀδικεῖ· καὶ ὁ ἐν ναυαγίῳ θησαυρȣ̃ φειδόμενος, ἑαυτόν τε καὶ τȣ̀ς συμπλέοντας ἀδικεῖ. κομιδῇ ἄδικος ὁ τῆς πατρίδος

adoleſcentiam. Ex ſenex violenter protervus ac petulans, aut nimis operoſus, injurius eſt ſenectuti. Avarus includens debitas uſui divitias, injuſtus eſt. Timidus injurius eſt circa fortitudinem, quando ad eam ſeſe componens & ornans, inutilia capeſſit pericula. Homo privatus & plebejus ad magnificentiam ſeſe audens erigere, injurius eſt circa admirabilem hancce virtutem, quæ ſolos decet principes. Lædit amicitiam, dimidiatam quis colens, & amicum in adverſis rebus deſerens. Injurius eſt circa amicitiam, qui amico non communicat cordis intima, ſed & ſeipſum lædit. Fructus enim amicitiæ eſt, civilis confeſſio, diſſipans triſtitiæ vel metus virulentiſſimos humores, qui cor ſuffocant & angunt. Atque iniquus quidem eſt, qui adulatione corrumpit ſanctum amicitiæ nomen; ſed non minus injuſte agit, qui amicitiam non alit & ſuſtentat veris laudibus, lenibus verbis, cultu & obſequiis, ſalutationibus, aliiſque amicitiæ officiis. Injuſte agit, qui prodigit bona ſua; ſed quandoque qui obolo non parcit, injurius eſt circa rem domeſticam. Quique in naufragio parcit theſauro, ſibi ipſi & ſociis navigationis injurius eſt. Oppido injuſtus

καὶ τοῦ βασιλέως ἐν κινδύνῳ ὄντων, ὑπὲρ τῆς αὐτῶν σωτηρίας κινδυνεύειν ὑπὸ φιλοψυχίας ἀπαναινόμενος. ἀδικεῖ δὲ καὶ ὁ τὰ δέοντα τῷ κοινῷ μὴ ὑπουργῶν· ὁ λειτουργεῖν δυνάμενος, σχολῆς δὲ καὶ θεωρίας ἔρωτι ἔν τινι οἰκίσκῳ καθείρξας ἑαυτὸν, καὶ ἐπὶ βλάβῃ τοῦ ὁμοφύλου τρυφῶν. ἐξ ἐναντίας δὲ ὁ ἐς τὸ πράττειν ἀφυὴς, ἀδικήσει εἰσπηδήσας ἐνδείᾳ φρενῶν εἰς πολιτικῶν πραγμάτων διοίκησιν.

Ἀδικεῖ τὴν τῶν πραγμάτων φύσιν, ὁ μὴ διακρίνων ὁποῖα τὰ ἐνδεχόμενα, τὰ ἀναγκαῖα, τὰ ἀδύνατα, ἀναμὶξ δὲ καὶ φύρδην ἐπιβάλλων τοῖς ἐγχειρήμασιν. ἀδικεῖ τὴν φρόνησιν, ἀσθένειαν αὐτῇ διαῤῥήδην ἐγκαλῶν διὰ τῆς λεωφόρου ἀσφαλῶς ἰούσῃ, ὁ ἐρανιζόμενος παρὰ τῆς ὑποκρίσεως καὶ ὑπουλότητος ἐρύματα αὐτῇ καὶ βοηθήματα, διά τε στενωπῶν, καὶ σκολιῶν, καὶ σκοτεινῶν τινων ὁδῶν πορευόμενος. ἀδικεῖ ὁ ἐν σπουδῇ παίζων, καὶ ἐν παιδιαῖς σπουδάζων· ἐν θείῳ ναῷ γελῶν, μετὰ δὲ γυναικὸς καὶ παίδων ἐν εὐωχίαις σοβαρευόμενος. „ μὴ ἴσθι, φησὶν, ὡς λέων ἐν τῷ οἴκῳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου. „ Σιρ. κεφ. δ. ἀδικήσει τὰς ἀρετὰς, ὁ ταῖς κακίαις

est, qui, patria & rege in periculo constitutis, vitæ nimis amans, pro eorum salute periclitari detrectat. Injustus est, qui non ita ut æquum est, ministrat servitque reipublicæ: qui, cum munere aliquo fungi possit, otii & speculationis amore, in aliqua cellula seipsum includit, cumque societatis detrimento, deliciis vacat; e contrario autem rebus gerendis non aptus natus, nocebit, si, mentis penuria, irrumpat in rerum civilium administrationem.

Injuste agit, qui indolem rerum & negotiorum naturam non discernit, quæ fieri possint, quæ necessario fiant, quæ fieri nequeant, sed promiscue & confuse cœpta aggreditur. Iniquus est erga prudentiam qui infirmitatis eam accusat, via regia tuto incedentem, qui a simulatione & dolis ei mutuatur tutamen & adminiculum, perque arctas & tortuosas & caliginosas quasdam vias ambulat. Injurius est, qui in seriis jocatur, in jocis seria tractat: in æde divina ridens, cum uxore autem & liberis in convivio tetricum se præbens. *Noli esse*, inquit, *sicut leo in domo tua, & suspiciosus erga domesticos.* Ecclesiastici, 4, 30. Injurius est erga virtutes, qui vitiis imponit earum

περιτιθέμενος τὰ τούτων ὀνόματα, ἢ καταῤῥυπαίνων τὰς ἀρετὰς
Ἠσαΐ. κεφ. ε. ὑπὸ φθόνου τοῖς ὀνόμασι τῶν κακιῶν. οὐαὶ γὰρ τοῖς λέγουσι τὸ πικρὸν „
γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. ἄδικος ὁ ἐπεμβαίνων τῷ ἐχθρῷ „
Ψαλ. οη. πεπτωκότι. ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς „
πετεινοῖς τοῦ οὐρανοῦ. ἄδικος ὁ ἀνακαλύπτων μυστήρια, ἃ ὁ εἰς ἔχθραν „
μεταπεσὼν, ὁπηνίκα φιλία συνῆπτο ἔφθη ἀνακοινωσάμενος αὐτῷ,
Σειρ. κεφ. κζ. ἀνατρέπει γὰρ ἄρδην τὴν πολιτικὴν κοινωνίαν. ὁ ἀποκαλύπτων μυστή- „
ρια ἀπώλεσε πίστιν. ἄδικος δὲ οὐ μόνον εἰς ἐχθροὺς, ἀλλ' εἰς ἅπασαν „
τὴν φύσιν, ὁ καὶ μετὰ τὸν θάνατον τοῦ ἐχθροῦ ἐς τὸ ἀπόγονον μετο-
Βιβλ. θ'. νομ. χετεύων τὴν ἀπέχθειαν. ἑνὶ λόγῳ, φησὶ Πλάτων, πατρὸς ὀνείδη, „
καὶ τιμωρίας παίδων μηδενὶ ξυνέπεσθαι. ἀλλὰ τί δεῖ Πλάτωνος, „
Δευτερ. κεφ. κδ'. αὐτὸς ὁ θεός φησιν, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ „
οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀπο- „
θανεῖται. ὁ δὲ τοῦ χριστοῦ νόμος ὑπερφυεστέραν τινὰ καὶ ὑψηλὴν
ἀρετὴν παιδεύει τοὺς ἀνθρώπους, ὁπόσα ὁ διὰ Μωσέως νόμος τῇ
σκληρότητι καὶ ἀντιτυπίᾳ τῶν Ἰουδαίων συγκαταβαίνων συνεχώρησε,
τοῖς τελεωτέρῳ βίῳ τελουμένοις μηδαμῶς ξυγχωρῶν, ἀλλὰ πανταχοῦ

nomina, aut ex invidia virtutes contaminat nominibus vitiorum. (Is. 5, 20.) *Væ enim dicentibus amarum dulce, & dulce amarum.* Injustus, qui insultat hosti jacenti. (Ps. 78, 2.) *Posuerunt morticinia servorum tuorum, escas volatilibus cœli.* Iniquus, qui detegit arcana, quæ alius in inimicitias dilapsus, cum amicitia coiret & constaret ei communicaverat; evertit enim funditus civilem societatem. (Ecclesiastici, 27, 16.) *Qui denudat arcana, fidem perdit.* Injurius, non solum erga hostes, sed in universam naturam, qui post mortem inimici, in progeniem ejus derivat simultates. (* Legum.) **Uno verbo*, inquit Plato, *patris opprobria & supplicia nullum ex liberis comitantor.* Sed quid opus Platone? Deus ipse inquit, (** Deut. 24, 16.) ***Non occidentur patres pro filiis, nec filii pro patribus; sed unusquisque pro peccato suo morietur.* Christi autem lex ingentiorem quandam & sublimem virtutem docet homines, quæcumque lex Moysis refractariæ Judæorum duritiei condescendens concessit, ea perfectiori vitæ initiatis neutiquam permittens; contra vero ubique

καὶ

καὶ ἐπιτάττων, καὶ συμβουλεύων τὰ κρείττω καὶ ὑπέρτερα. καὶ ὁ μὲν, ὀφθαλμὸν, ἔφη, ἀντὶ ὀφθαλμοῦ, ὁ δὲ, μὴ μόνον φείδεσθαι τῶν ἐχθρῶν, ἀλλὰ καὶ συγγνώμην ἀπονέμειν, καὶ ἀγαπᾷν βούλεται· καὶ μὴ μόνον αἵματος, ἀλλὰ καὶ ὕβρεως ἁπάσης ἁγνὰς ἔχειν τὰς χεῖρας, τῶν ἐπιτετραμμένων τὴν διοίκησιν τῆς πολιτείας ὡς ἐπιτρόπων ἐπὶ γῆς θεοῦ κολαζόντων ἄλλαις τε ποιναῖς, καὶ ξίφει τοὺς ἀδικοῦντας. διὰ τοῦτο ἀνέῳκται δικαστήρια, καὶ κριταὶ κάθηνται, καὶ νόμοι ἀναγινώσκονται, καὶ δίκαι τέμνονται, καὶ ποιναὶ τοῖς ἀδικοῦσιν ἐπιβάλ-
„ λονται. οὐ δὲ γὰρ μάτην, φησὶν ὁ θεῖος Παῦλος, τὴν μάχαιραν φορεῖ. καὶ ἐν κινδύνῳ καταστὰς, μηνύει τῷ χιλιάρχῳ τὴν ἐπιβουλὴν, καὶ ὑπὸ στρατιωτῶν φυλαττόμενος εἰς ἑτέραν μεταβαίνει πόλιν. εἰρηνεύειν ἄρα μετὰ πάντων ὀφείλομεν, εἰ ἔξεστι, καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι, καὶ μηδενὶ δικάζεσθαι· εἰ δὲ ἡ τῶν ἄλλων μοχθηρία τοῦτο ἡμῖν οὐ ξυγχωρεῖ, καὶ ἄκοντες τό γε εἰς ἡμᾶς ἧκον μηνύσομεν τῷ ἄρχοντι τὸν κίνδυνον, ἡμεῖς δὲ ἥκιστα ῥᾳδιουργήσομεν τὰ τῆς ἀμύνης. συμβουλεύσομεν, ἐπιτιμήσομεν, ἀπειλήσομεν, φοβήσομεν· μέχρι δὲ τούτου στησόμεθα, οὐδὲ γὰρ ἀσφαλὲς τῷ χριστιανῷ περαιτέρω

Ῥωμ. κεφ. ιγ'.

imperans & ſuadens potiora & ſuperiora. Atque ille quidem Oculum pro oculo dixit, hic autem non ſolum parcere inimicis, ſed & ignoſcere, & eos diligere nos vult: & non ſolum a ſanguine verum ab omni etiam injuria puras habere manus; ſiquidem ii, quibus commiſſa eſt adminiſtratio reipublicæ tamquam procuratores in terris Dei, puniant, cum aliis ſuppliciis tum gladio, noxios. Propterea patent tribunalia, ſedentque judices, & leges leguntur, & lites deciduntur, & pœnæ nocentibus infliguntur. * *Non enim ſine cauſa*, inquit divus Paulus, *portat gladium*. Idem in periculo conſtitutus, indicat tribuno inſidias, & ſub cuſtodia militum in aliam tranſit urbem. Igitur pacem agere cum omnibus debemus, ſi licet, atque tranquillitatem amplecti, & cum nemine litigare. Si vero malitia aliorum id nobis non permittit, etiam inviti quod ad nos pertinet, indicabimus magiſtratui periculum, ipſi autem minime ſatagemus ulciſcendo; ſed conſulemus, increpabimus, minabimur, terrebimus: hactenus conſiſtemus, neque enim fas Chriſtiano

* Rom. 13, 14.

προβῆναι. δικαςῦ δὲ μὴ παρόντος, καὶ τῦ ἐχθρῦ σπάσαντος ἤδη τὸ ξίφος, καὶ ἐπικειμένυ, φυγῇ τὴν σωτηρίαν πραγματευσόμεθα. σωτήριος ἡ φυγὴ σώματί τε, καὶ ψυχῇ, ἀμφοῖν πραγματευομένη τὴν ἀσφάλειαν τῷ τε ἀντιπάλῳ, καὶ ἡμῖν. εἰ δὲ μή τε φυγεῖν ἐγχωροίη, τότε τῆς ἀνάγκης αὐτοσχεδιαζέσης καὶ περιτιθείσης κριτῦ σχῆμα, ἐνίοτε ἐξέσαι ἴσως τὸν ἐπὶ λύμῃ τῦ ὁμοφύλυ ὕτω σφαδάζοντα, ὡς φθόρον καὶ λυμεῶνα πολιτικῆς κοινωνίας ἐκ μέσυ ποιήσασθαι, ἀποδιδόντα ἑαυτὸν ὅσον ἐφικτὸν ἀσινῆ, ὡς μέλος τῷ κοινῷ τῆς πολιτείας σώματι. εἰ γὰρ τὰ μέλη ὐ φείσονται ἑαυτῶν, ἀδικήσυσι τὸ κοινὸν σῶμα, τῆς ὀφειλομένης λειτυργίας
κορινθ. ά. κεφ. ιβ'. ἀποςερήσαντα. ἀλλὰ πολλῷ μᾶλλον, ὁ θεῖος Παῦλός φησι, τὰ δοκῦντα μέλη τῦ σώματος ἀσθενέςερα ὑπάρχειν, ἀναγκαῖά ἐςι. " καὶ εἴ τε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. καὶ ὁ ἅγιος "
Ἐπιςτ. ά κορινθ. κεφ. λζ'. Κλήμης, λάβωμεν τὸ σῶμα ἡμῶν, ἡ κεφαλὴ δίχα τῶν ποδῶν ὐδέν " ἐςιν, ὕτως ὐδὲ οἱ πόδες δίχα τῆς κεφαλῆς. τὰ καὶ ἐλάχιςα μέλη " τῦ σώματος ἡμῶν, ἀναγκαῖα καὶ εὔχρηςά εἰσιν ὅλῳ τῷ σώματι. ἀλλὰ πάντα συμπνεῖ, καὶ ὑποταγῇ μιᾷ χρῆται εἰς τὸ σώζεσθαι ὅλον.

ultra progredi. Si nullus adsit judex, & adversarius stricto gladio instet,
* 1.Cor.12, 22, 26. fuga salutem procurabimus. Salutaris enim fuga, & corpori & animæ, utrisque præstans securitatem, & adversario & nobis. Quod si nec fugiendi sit locus ac facultas, ibi tum necessitate tumultuarie imponente
** Epist. 1. ad Cor. cap. 37. judicis personam, interdum licebit fortasse, perdendi socii causa sic ferocientem, tamquam labem & pestem civilis societatis e medio tollere, reddendo seipsum quatenus licet illæsum & integrum, velut membrum, communis societatis corpori. Si enim membra sibi ipsis non parcant, lædent commune corpus, functione debita id privantia. * *Sed multo magis*, divus inquit Paulus, *quæ videntur membra corporis infirmiora esse, necessariora sunt. Et, si quid patitur unum membrum, compatiuntur omnia membra.* Et sanctus Clemens, ** *Sumamus corpus nostrum, ut caput sine pedibus nihil est, sic nec pedes sine capite. Etiam minima corporis nostri membra necessaria & utilia sunt universo corpori. Omnia vero conspirant & una submissione utuntur ad servandum corpus.*

Περὶ

Περὶ μετανοίας.

Κεφάλ. ιέ.

Τῆς δικαιοσύνης τό, τε διορθωτικὸν καὶ τὸ διανεμητικὸν μέρος διαῤῥήδην ἡμᾶς ἀναμιμνήσκει ἀποδιδόναι τὰς ὀφειλὰς Θεῷ τε, καὶ ἑαυτοῖς, καὶ τῷ πλησίον. καὶ καλὸν μὲν τὸ ἀπρὶξ ἀντιποιούμενον ἀρετῆς, μηδέποτε τῆς εὐθείας παρατρέπεσθαι, μηδὲ προσκρούειν Θεῷ· ἀλλὰ τίς ζήσεται, καὶ οὐχ ἁμαρτήσει; καὶ ὁ προφήτης Ἱερεμίας „ φησί, μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει; „ καὶ πάλιν ὁ Δαβίδ, ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, „ καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους. πεπλημμεληκόσιν ἄρα πρόκειται ἡμῖν ὁ δεύτερος πλοῦς, * καὶ ἡ ἱερὰ τῆς μετανοίας ἄγκυρα. διὰ τοῦτο γὰρ ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστὸς, ἐν τῷ σταυρῷ τὴν ἁμαρτίαν καθηλώσας, ἵνα διὰ μετανοίας τῷ Θεῷ προστρέχοντες, σωτηρίας ἐπιτυγχάνωμεν. καὶ τῶν μὲν εἰς τὸν ἀπείρως ἀγαθὸν καὶ δίκαιον Θεὸν πεπλημμελημένων τὴν συγχώρησιν, μόνῃ τῇ χάριτι ὡς παρὰ μεγαλοδώρου βασιλέως λαμβάνομεν, παρ᾽ ἡμῶν δὲ ὀφείλεται

κεφ. ή.

ψαλ. ρμδ.

CAP. XV.

De Pœnitentia.

UTraque justitiæ pars & commutativa & distributiva nos aperte commonefacit, ut reddamus debita Deo, nobis ipsis, & proximo. Atque optimum quidem est tenaciter inhærendo virtuti, nunquam a recta via deflectere, neque Deum offendere; sed quis vivet & non peccabit? Et propheta Hieremias inquit, **Numquid qui cadit non resurget? & qui aversus est non revertetur?* Et rursum David, ***Allevat Dominus omnes qui corruunt: & erigit omnes elisos.* Commisso igitur peccato, altera navigatio proposita est nobis, & sacra pœnitentiæ ancora. Propterea enim pro nobis mortuus est Christus, inque cruce peccatum affixit, ut per pœnitentiam ad Deum confugientes, salutem consequamur. Atque peccatorum quidem in Deum, qui infinite bonus est & justus, remissionem, sola gratia, veluti a munifico rege accipimus; ex nostra autem parte debetur fir-

* Jer. 8. 4.

** Psal. 144. 14.

τὸ βέ-

Σειρ. κεφ. β. τὸ βέβαιον, καὶ πιστὸν, καὶ ἀκίβδηλον τῆς μετανοίας. οὐαὶ γάρ, "
φησι, καρδίαις δειλαῖς, καὶ χερσὶ παρειμέναις, καὶ ἁμαρτωλῷ "
ἐπιβαίνοντι ἐπὶ δύο τρίβους. τὸ μὲν γὰρ ἁμαρτάνειν ἀνθρώπινον, τὸ "
δὲ μὴ ἐκ τοῦ παραυτίκα μετανοεῖν, ἀπονοίας καὶ ῥαθυμίας δεῖγμα.
διὸ οὐαί, φησι, τῷ ἀποτροπαίῳ δειλίᾳ συνεχομένῳ, καὶ εἰς ἀπόνοιαν
ἀποκλίνοντι. οὐαὶ δὲ καὶ τῷ ῥαθυμοῦντι, καὶ ὅλως ἐκλελυμένῳ, καὶ
μὴ εἰς οὐρανὸν ἀνανεύοντι, οὐδὲ χεῖρας αἴροντι. καὶ οἱ μὲν δι' ἄγνοιαν
ἁμαρτάνοντες, ἐνίοτε συγγνωστέοι· διϋπνιζόμενοι γὰρ οἱ τοιοῦτοι,
καιρίοις λόγοις εὐθὺς ἀνανήφουσι, καὶ εἰς μετάνοιαν τρέπονται· οἱ δὲ
ἐν γνώσει ἁμαρτάνοντες, ἐκεῖνοι εἰσὶν οἱ ἐπὶ δύο τρίβους ἐπιβαίνοντες.
συννοοῦσι γὰρ τὰ κρείττω, καὶ ἐπιβαίνουσι τῷ νοῒ τῇ ἀναπολήσει τῆς
ψαλ. ιη. ἀρετῆς· ἡ γὰρ ἐντολὴ Κυρίου τηλαυγής· ἀλλ' ἀπλέτῳ μοχθηρίᾳ "
Ἀσμ. κεφ. ε. πάλιν οὐ παραιτοῦνται τὴν κακίαν, οὐδὲ λέγουσιν, ἐνιψάμην τοὺς πόδας "
μου, πῶς μολυνῶ αὐτούς; εἰ δέ ποτε μέχρι χειλέων μεταμεληθεῖεν "
ἐπὶ τοῖς κακῶς πεπραγμένοις, ἀνατρέχουσιν αὖθις ὥσπερ οἱ κύνες ἐπὶ
τὸν ἴδιον ἐμετὸν, καὶ οὕτω δι' ὅλου τοῦ βίου κυμαίνονται, καὶ ὡσταπολλὰ
οἰκτρῶς ναυαγοῦσιν, ἐπὶ δύο τρίβους βαίνοντες. κίβδηλος δὲ ἄντικρυς ἡ

mitas, fidelitas ac ſinceritas pœnitentiæ. *Væ* enim *cordibus ignavis, & manibus remiſſis ac laxis, & peccatori ingredienti duabus viis.* Peccare enim humanum eſt, ſed non ſtatim pœnitentiam agere, contumaciæ & ignaviæ documentum. Idcirco væ, inquit, ei qui abominanda tenetur ignavia, quive in contumaciam declinat. Væ autem & deſidioſo planeque diſſoluto, in cœlum non ſuſpicienti neque manus attollenti. Ac per ignorantiam quidem peccantes, aliquando ſunt excuſabiles: expergefacti enim tales opportunis verbis, mox reſipiſcunt, & ad pœnitentiam ſeſe convertunt; qui vero ſcientes peccant, hi ſunt, qui duabus viis ingrediuntur. Intelligunt enim meliora, & mente intrant in recordationem virtutis, * *Præceptum enim Domini lucidum*; ſed immani ſcelere, vitium rurſus non vitant, nec dicunt, ** *Lavi pedes meos, quomodo inquinabo eos?* Si quando autem labiorum tenus pœniteat eos malefactorum, recurrunt rurſus uti canes ad vomitum ſuum, atque ſic omni vitæ tempore fluctuant, & plerumque miſerabiliter naufragium patiuntur, duabus viis ingredientes. Adulterina autem

Eccleſiaſtici, 2, 14.

* Pſ. 18, 9.

** Cant. 5, 3.

μετάνοια

„ μετάνοια καὶ μὴ ἀποδιδομένων τῶν ἁρπαχθέντων, οὐδὲ ἀφίεται
„ ἁμαρτία εἰ μὴ ἀποδοθῇ τὸ ἀφαιρεθέν. ἀπόδοτε πᾶσι τὰς ὀφειλάς, ῥωμ. κεφ. ιγ΄.
„ ὁ θεῖος Παῦλός φησι. καὶ διὰ Ἰεζεκιὴλ τὸ πνεῦμα τὸ ἅγιον· καὶ κεφ. λγ΄.
„ ἀποστρέψει ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ποιήσει κρίμα, καὶ δικαιο-
„ σύνην, καὶ ἐνεχύρασμα ἀποδοῖ, καὶ ἁρπάγματα ἀποτίσει. καὶ ὁ
„ Τωβὶτ, εἶπα αὐτῇ πόθεν τὸ ἐρίφιον; μὴ κλεψιμαῖόν ἐστιν; ἀπόδος κεφ. β΄.
„ αὐτὸ τοῖς κυρίοις, οὐ γὰρ θεμιτόν ἐστι φαγεῖν κλεψιμαῖον. καὶ ὁ
„ Δαβὶδ, τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ψαλ. λζ΄.
„ ἁμαρτίας μου. οὐδὲ γὰρ ἀρκεῖ τὸ ἀναγγεῖλαι μόνον, ἀλλὰ δεῖ καὶ
μεριμνῆσαι ὑπὲρ τῆς ἁμαρτίας, καὶ ἀποδοῦναι τὰ ἀλλότρια. οὐδὲ
γὰρ οὐδὲ ἀθωωθήσεται, οὐδὲ φεύξεται τὴν φοβερὰν τοῦ θεοῦ κρίσιν
ὁ πενίας προφάσει ἐνδυόμενος τὰ ἀλλότρια, ἐσθίων τὰ ἀλλότρια, εἰ
καὶ ἔνιοι λόγων πλοκαῖς ξυγχωροῦσι τοῖς μετανοοῦσι τὸ διακατέχειν
„ τὰ τοῦ πλησίον. διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ριη΄.
„ ὁ νόμος σου Κύριε. ὅτι θεὸς κριτής ἐστι. καὶ τῷ ἁμαρτωλῷ εἶπεν μθ΄.
„ ὁ θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις
„ τὴν διαθήκην μου διὰ στόματός σου; ὁ Τωβὶτ ἐπολιορκεῖτο πενίᾳ.

omnino eſt pœnitentia etiam cum non reſtituuntur abrepta: nec remittitur peccatum, niſi reddatur, quod ablatum eſt. * *Reddite omnibus debita*, divus inquit Paulus. Et Spiritus ſanctus per Ezechiel, ** *Et avertetur a peccato ſuo, facietque judicium & juſtitiam, & pignus reſtituet, rapinamque reddet.* Et Tobias, * *dixi ei, Unde hœdus iſte? numquid furtivus eſt? redde eum dominis ſuis? quia non licet nobis ex furto quidquam edere.* Et David, ** *Iniquitatem meam annunciabo, & cogitabo pro peccato meo.* Neque enim ſufficit annunciare ſolummodo, ſed ſollicite etiam cogitare de peccato oportet, atque aliena reſtituere. Neque enim innocens habebitur, nec effugiet horribile *Rom. 13, 4.
Dei judicium, paupertatis prætextu aliena induens, aliena comedens; ** Ezech. 33, 14.
etſi quidam verborum perplexitate permittant pœnitentibus ea quæ alterius ſunt retinere. *Narraverunt mihi iniqui fabulationes: ſed* Pſ. 118, 85.
non ut lex tua Domine. Quia Deus judex eſt. *Peccatori autem dixit Deus, Quare tu enarras juſtitias meas, &* Pſ. 49, 16.
aſſumis teſtamentum meum per os tuum? Tobias obſidebatur a pau- * Tob. 2, 21. ** Pſal. 37, 19.

Ἀχιά-

κεφ. β'. Ἀχιάχαρος δὲ ἔτρεφέ με ἕως ȣ̓ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα. καὶ“
ἡ γυνή μȣ Ἄννα ἠριθεύετο ἐν τοῖς γυναικείοις. ἀλλ' ἡ πενία ȣ̓ γίνεται“
tantes societatem & amorem mutuum, communicandis sermonibus, disceptationibus, occursu & congressu, amplexu, benevolentiæ significatione, quibus rebus colligatur in civitatibus societas. In quibus multa sunt communia, forum, templa, theatra, leges, jura, consvetudines & mores, commercia resque & rationes contractæ, familiaritates atque amicitiæ. Per amicitiam autem sinceram, quam similitudo morum parit, stabilit & constituit, propria etiam ac privata fiunt quodammodo communia. propterea proverbio dicitur: Amicorum esse omnia communia.

Sed fundamentum & principium omnis societatis sunt conjugia & familiæ, seminaria reip. In quibus officia inter maritum & uxorem, patremque & liberos, assiduis conservantur curis. Uxor ut dominum & regem ita honorat maritum, obsequitur ejus nutibus, sollicita est ut bene & recte omnia habeant domi, curamque agit ruris & servorum. *Operatur enim viro suo ad bona omnibus diebus vitæ suæ. Quæsivit lanam & linum, fecitque utilia manibus suis. Facta est quasi navis institoris de longe portans panem suum. Et de nocte surrexit, distribuitque cibos domesticis & pensa an-* Prov. 31, 12. seqq.

καὶ

καὶ ἔργα ταῖς θεραπαίναις. θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ «
καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. ἀναζωσαμένη ἰσχυρῶς «
τὴν ὀσφῦν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. καὶ ἐγεύ- «
σατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος «
αὐτῆς ὅλην τὴν νύκτα. τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, «
τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. χεῖρας δὲ αὐτῆς διήνοιξε «
πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ «
αὐτῆς ὅταν που χρονίζῃ, πάντες γὰρ οἱ παρ᾽ αὐτῇ ἐνδεδυμένοι εἰσί. «
δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας «
ἑαυτῇ ἐνδύματα. περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, «
ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων τῶν κατοίκων τῆς «
γῆς. ἀλλὰ πρὸ πάντων ἐπιμελήσεται, ὅπως αὐτή τε σωφρονοίη,
καὶ τὰ τέκνα, οὐδὲ γάρ ἐστι ταύτης μείζων εὐποιΐα γυναικὸς πρὸς
ἄνδρα. ὁ δὲ ἀνὴρ εὐποιήσει τήν τε ὁμόζυγον καὶ ἑαυτὸν, ἀνονήτῳ
ζηλοτυπίᾳ μὴ διασείων τὴν οἰκίαν, καὶ πολὺν τὸν χειμῶνα διεγείρων
κεφ. θ'. ἐν αὐτῇ. μὴ ζήλου, φησὶν ὁ σοφὸς Σειρὰχ, γυναῖκα τοῦ κόλπου σου, «
μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν πονηράν. ἡ γὰρ σωφροσύνη οὐκ «
ἔχει φύλακα τὴν ζηλοτυπίαν, ἀλλ᾽ ἔστιν ἑκούσιος ἀρετή. τοῦτο δὲ

cillis. Consideravit agrum & emit eum: de fructu manuum suarum plantavit fundum. Succincta fortiter lumbos, admovit brachia sua operi. Gustavit & vidit quia bonum est operari. Non extingvitur lucerna ejus tota nocte. Cubitos suos extendit ad utilia, manus autem suas admovet fuso. Manus suas aperuit inopi, &
* cap. 9, 1. *palmas suas extendit ad pauperem. Non est sollicitus vir ejus de domo sua quando diutius alicubi moratur: omnes enim domestici ejus vestiti sunt. Geminas lænas fecit viro suo, sibi autem ex abysso & purpura indumenta. Nobilis in portis vir ejus, quando sederit cum senatoribus terræ.* Sed inprimis operam dabit, ut & ipsa pudica sit, & liberi temperati ac modesti. Neque enim majus isto beneficium est mulieris erga maritum. Vir autem è re sua & conjugis faciet, infructuosa zelotypia non concutiens domum, magnamque in ea tempestatem excitans. * *Ne zeles*, inquit sapiens Sirach, *mulierem sinus tui, neque doceas super teipsum doctrinam nequam.* Pudicitia enim non habet custodem zelotypiam, sed est voluntaria virtus. Hoc

μόνον

μόνον κερδήσει ὁ ζηλοτυπίαν νοσῶν, ὅτι παρὰ τῇ γυναικὶ ἀφροσύνην ἑαυτȣ̃ καταδικάσει. ȣ̓ μόνον γὰρ εἰς τὰ κεκωλυμένα μᾶλλον εἴωθε διατείνεσθαι τὸ γυναικεῖον φῦλον, ἀλλὰ καὶ ὡς ἀφρόνων ὀλίγον λόγον ποιȣ̃νται τῶν ζηλοτυπȣ́ντων ἀνδρῶν.

Εὐποιήσει δὲ καὶ τὰ τέκνα εἰς πᾶσαν ἀρετὴν παιδαγωγῶν, καὶ τὸν ἀκήρατον τῆς εὐσεβείας καὶ δικαιοσύνης, καὶ ἐλεημοσύνης πλȣ̃τον ἀφθόνως εἰς αὐτὰ διαπορθμεύων, καὶ ἀγαθῶν ἐλπίδων ἐμπιπλάς. οἷαι αἱ τῷόντι χρυσαῖ παραινέσεις τȣ̃ Τωβὶτ πρὸς Τωβίαν τὸν υἱὸν „ αὐτȣ̃. πάσας τὰς ἡμέρας παιδίον Κυρίȣ τȣ̃ Θεȣ̃ ἡμῶν μνημόνευε, Τωβιτ. κεφ. δ'.
„ καὶ μὴ θελήσῃς ἁμαρτάνειν, καὶ παραβῆναι τὰς ἐντολὰς αὐτȣ̃.
„ δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σȣ, καὶ μὴ πορευθῇς
„ ταῖς ὁδοῖς τῆς ἀδικίας. διότι ποιȣ̃ντός σȣ τὴν ἀλήθειαν, εὐοδίαι
„ ἔσονται ἐν τοῖς ἔργοις σȣ, καὶ πᾶσι τοῖς ποιȣ̃σι τὴν δικαιοσύνην. ἐκ
„ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω σȣ
„ ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. μὴ ἀποστρέψῃς τὸ πρόσω-
„ πόν σȣ ἀπὸ παντὸς πτωχȣ̃, καὶ ἀπὸ σȣ̃ ȣ̓ μὴ ἀποστραφῇ τὸ πρό-
„ σωπον τȣ̃ Θεȣ̃. ὡς σοὶ ὑπάρχοι κατὰ τὸ πλῆθος, πόιησον ἐξ αὐτῶν

autem solum lucrabitur zelotypia laborans, ut apud uxorem stultitiæ se damnet. Non enim tantummodo in vetita magis solet niti muliebris sexus, sed etiam, ut stultos parvi pendunt zelotypos viros.

Bene autem faciet etiam liberis, ad omnem virtutem eos instituens, & intaminatas pietatis, justitiæ & misericordiæ divitias affatim in eos transferens, bonisque spebus implens. Qualia sunt illa vere aurea Tobiæ ad Tobiam filium monita: * *Omnibus diebus vitæ tuæ, fili, in mente habeto Dominum Deum nostrum: & cave, ne aliquando peccato consentias & transgrediaris præcepta ejus. Justitiam operare omnibus diebus vitæ tuæ, neque ambules in viis injustitiæ. Quoniam te operante veritatem prosperi erunt negotiorum tuorum eventus, & omnibus operantibus justitiam. Ex substantia tua fac eleemosynam, & ne invideat oculus tuus, cum facis misericordiam. Noli avertere faciem tuam ab ullo paupere: ita enim fiet, ut nec a te avertatur facies Domini. Pro copia bonorum tuorum fac ex iis eleemosy-* * Tob. 4, 6.

T ἐλεημο-

ἐλεημοσύνην. ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβȣ̃ ποιεῖν ἐλεημοσύνην. θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης. διότι ἐλεημοσύνη ἐκ θανάτȣ ῥύεται, καὶ ȣ̓κ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος. δῶρον γὰρ ἀγαθόν ἐςιν ἐλεημοσύνη πᾶσι τοῖς ποιȣ̃σιν αὐτὴν ἐνώπιον τȣ̃ ὑψίςȣ.

Εὐποιήσει δὲ καὶ τȣ̀ς δȣ́λȣς, τροφάς τε χορηγῶν καὶ ἐνδύματα. Σειρ. κεφ. λγ. *ἄρτος γὰρ, καὶ παιδεία, καὶ ἔργον οἰκέτῃ· οἰκέτῃ δὲ κακȣ́ργῳ, ςρέβλαι καὶ βάσανοι.*

Ἕκαςος δὲ ὀφείλει εὐποιεῖν καὶ τὴν ἑαυτȣ̃ πατρίδα, ἡ γὰρ πατρὶς πᾶσαν ἐμπεριείληφε κοινωνίαν, καὶ οἱ ὑπὲρ πατρίδος προθύμως κινδυνεύοντες, περικλεεῖς εἰσιν εἰς αἰῶνα τὸν ἅπαντα, ȣ̓́ τε μετὰ θάνατον θνήσκȣσιν, ἀλλὰ διὰ παντὸς εὐφημίαις γεραίρονται, ὥσπερ ἡ σεμνοτάτη, καὶ ἀνδρειοτάτη Ἰȣδὴθ, οἵ τε Μακκαβαῖοι, καὶ ὁπόσοι τοιȣ̃τοι. μέρος δὲ τῆς πατρίδος οἱ ἄρχοντες, κἄντε βασιλεὺς εἴη ὁ ἄρχων, κἄντε γερȣσία μιᾷ συμπνοίᾳ τȣ̃ κοινȣ̃ προϊςαμένη. φύλαξ γὰρ ὁ ἄρχων τȣ̃ κατηκόȣ, ἡμέραν τε, καὶ νύκτα ἀγρύπνοις ὄμμασι προνοεῖται τῆς ἁπάντων ἀσφαλείας καὶ σωτηρίας, καὶ γογγύζοντος αὐτȣ̃, ὀργίζεται τὸ θεῖον.

nam: ſi modicum tibi fuerit, ſecundum paucitatem illam ne dubites facere eleemoſynam. Præmium enim bonum theſaurizas tibi in diem neceſſitatis. Quoniam eleemoſyna a morte liberat, & non ſinit intrare in tenebras. Munus enim bonum eſt eleemoſyna omnibus facientibus eam coram Altiſſimo.

Benefaciet ſervis quoque, cum alimenta miniſtrans tum veſti- *Eccleſiaſtici, 50, 25. 28. menta. *Panis enim & diſciplina & opus ſervo. Servo autem malefico tormenta & cruciatus.*

Porro quisque bene mereri debet etiam de patria ſua. Etenim patria una complexa eſt omnes ſocietates, quive pro patria æquo animo periclitantur, in omne ævum celebrantur, & nec poſt obitum moriuntur, ſed perpetuis laudibus honorantur, ut caſtiſſima ſimul & fortiſſima illa Judith, ut Macchabæi etiam, & omnes tales. Pars autem patriæ ſunt Imperantes, ſive imperans ſit rex, ſive ſenatus qui communi conſenſu præeſt Reip. Imperans enim, cuſtos eſt ſubjectorum, dieque & nocte vigilans, proſpicit omnium ſecuritati & ſaluti; atque ſi murmuret, iratum habet Numen.

Διαλη-

Διαληπτέον δὲ ἄττα καὶ περὶ εὐχαρίστου καὶ ἀχαρίστου γνώμης. ἡ μὲν γὰρ περὶ τὸ εὐποιεῖν φειδὼ καὶ ἐκτένεια ἔχει τοὺς ἰδίους λόγους, καὶ ἴσως ἐνίοτε ἀνεπιμώμως ἤρτηται τῆς τοῦ εὐποιοῦντος προαιρέσεως· τὸ δὲ εὖ πεπονθότα ῥαθύμως ἔχειν περὶ τὴν ἀντέκτισιν τῆς χάριτος,
» παρανομία ἄντικρύς ἐστι. δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. Ψαλ. λς΄.
ὀφειλὴ γάρ ἐστιν ἡ ὁτῳοῦν καταβληθεῖσα χάρις, καὶ ἡ ἀντίδοσις χρέος ἀπαραίτητον, καὶ εἴ γε μιμησόμεθα τὴν λιπαρὰν γῆν, μετὰ
» προσθήκης ἀποδώσομεν τοὺς καρπούς. ὁ ἀνταποδιδοὺς, φησι, χάρι- Σειρ. κεφ. γ΄.
» τας, μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως εὑρήσει
» στήριγμα. τὸ μὲν γὰρ ἐπὶ ἀμοιβῶν προσδοκίᾳ κατατιθέναι τὰς χάριτας, ἐλευθεριότητος οὐκ ἂν εἴη· ἀλλ' ὅμως ὁ τὴν εὐεργεσίαν εἰληφὼς ὑπόχρεως καθίσταται, καὶ διὰ τοῦτο πάντως ὀφείλει ἄνευ ἀναβολῆς ἀμοιβαίαις ἀντιδόσεσιν ἐπιδείξασθαι τὸ γενναῖον καὶ ἐλευθέριον τῆς ψυχῆς. ἀλλ' ἡ ἀχαριστία ὡσταπολλὰ νεανιευομένη, μυρία ὅσα * δραματουργεῖ μὴ μόνον οὐκ ἀποδιδοῦσα τὰς ὀφειλὰς, ἀλλὰ καὶ βλασφημοῦσα, καὶ ἐπιβουλευομένη τῷ εὖ πεποιηκότι. καὶ οἱ μὲν εὐφρονοῦντες, πρῶτον μὲν τῷ χορηγῷ παντὸς ἀγαθοῦ θεῷ τοὺς εὐχα-

Diſceptandum nonnihil etiam de grato & ingrato animo. Nam parcitas quidem & largitas in benefaciendo, habent ſuas rationes, ac fortaſſe quandoque citra culpam pendent ex benefacientis voluntate; ſed beneficio affectum negligentem eſſe in referenda gratia, iniquitas plane eſt. **Mutuabitur peccator, & non ſolvet.* Beneficii enim collatio eſt obligatio, & retributio debitum irrecuſabile: atque ſi imitabimur pingvem terram, cum additamento reddemus fructus. ** *Qui reddit, gratiam*, inquit, *meminit in poſterum, & in tempore caſus ſui inveniet firmamentum.* Equidem expectatione remunerationis conferre beneficia, liberalitatis haud fuerit; interim tamen is, qui beneficium accepit, debitor fit, ac propterea utique debet ſine cunctatione viciſſim gratificando ingenuum & liberalem animum oſtendere. Sed ingratitudo temere plerumque ſexcenta comminiſcitur, non ſolum debita non reddens, verum etiam diffamans & inſidiis petens benefactorem. Aſt ii qui recte ſapiunt, in primis quidem largitori omnis boni Deo hymnos & grates red-

* Pſ. 36, 21.
** Eccleſiaſtici. 3, 14.

ϱιστηϱίȣς ὕμνȣς ἀναπέμπȣσι, καὶ πολυτελεςάτοις ἔργοις γεραίρȣσιν.
Δευτερ. κεφ. ις'. ȣ̓κ ὀφθήσῃ ἐνώπιον Κυρίȣ τȣ̃ Θεȣ̃ σȣ κενός. καὶ, πάντες οἱ κύκλῳ "
ψαλ. οε. αὐτȣ̃ οἴσȣσι δῶρα τῷ φοβερῷ. μιμηταὶ γὰρ γίγνονται κἀν τȣ́τῳ "
τῶν προφητῶν καὶ ἁγίων. ὁ προφητάναξ Δαβὶδ ψαλμοῖς καὶ ὕμνοις "
γεραίρει τὸν δημιȣργὸν Θεὸν, καὶ εὐχαριςεῖ αὐτῷ ȣ̓ μόνον πλȣτίζοντι,
παροι. κεφ. γ'. ἀλλὰ καὶ παιδεύοντι. χάριτες γάρ εἰσιν αἱ παρὰ Θεȣ̃ παιδεῖαι. ὃν "
γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαςιγοῖ δὲ ὑὸν ὃν παραδέχεται. Δια- "
λάμπει δὴ ἐν τοῖς ἁγίοις καὶ τὸ πρὸς τȣ̀ς εὐηργετηκότας τῆς γνώμης
εὐχάριςον.

Ἰησȣ̃ς ὁ τȣ̃ Ναυῆ μνήμονι καὶ εὐχαρίςῳ διαθέσει ἀντευποιεῖ τὴν εὐεργέτιδα Ῥαάβ. ὁ προφήτης Ἡλίας, καὶ Ἐλισσαῖος ὁ μιμητὴς τȣ̃ διδασκάλȣ, ἀμφιλαφέσιν ἔργοις ἀμείβονται τὰς φιλοξενίᾳ παραμυθησαμένας αὐτȣ̀ς. καὶ Δαβὶδ ὁ βασιλεὺς τραπέζης κοινωνίᾳ ἀντευποιεῖ τὸν ὑὸν τȣ̃ Ἰωνάθαν, ȣ̓κ ἐπιλήσμων παλαιᾶς ἑταιρείας.

Ὅ, τε θεῖος Παῦλος τὸν ἐν Μελίτῃ ἑςιάσαντα καὶ περιθάλψαντα Πόπλιον ἐξ ὑπογύȣ ἁδροῖς εὐεργεσίαις ἀμείβεται.

Δεῖ δὲ ἐς τὸ εὐποιεῖν ȣ̃ς δεῖ, καὶ ὁπότε δεῖ, καὶ ὡς δεῖ ἑτοίμως

dunt, eumque magnificis operibus
Deut. 16, 16. venerantur, *Non apparebis ante Dominum Deum tuum vacuus.* Et,
Psl. 75, 12. *Omnes in circuitu ejus, offerent munera terribili.* Imitatores enim fiunt in eo etiam Prophetarum & Sanctorum. Regius Propheta David psalmis & hymnis veneratur creatorem Deum, gratiasque agit, non solum ditanti, sed & castiganti. Beneficia enim sunt, divinæ casti-
Prov. 3, 12. gationes. *Quem enim diligit Dominus, castigat, & flagellat filium qui ei est acceptus.* Elucet nempe in Sanctis, etiam gratus erga bene meritos animus.

Josue filius Nun memori & grato animo rependit beneficium bene meritæ Rachab. Elias Propheta, & Elisæus imitator magistri, uberrimis factis remunerant eas à quibus hospitalitatis solatium acceperant. Et rex David mensæ communione vicissim benefacit filio Jonathæ, haud immemor veteris sodalitii.

Divusque Paulus in Melite Publium, qui ipsum epulis acceperat & foverat, mox grandibus beneficiis remunerat.

Oportet autem circa beneficentiam meminisse quibus indulgen-

ἔχοντα

ἔχοντα μεμνῆσθαι, ὡς τὸ εὐχερῶς κατανεύειν τοῖς αἰτουμένοις τὰ μὴ
„ εἰκότα, μυρίων κακῶν πρόξενον. οὐκ οἴδατε τί αἰτεῖσθε, φησὶν ὁ Ματθ. κεφ. κ.
δεσπότης. τὸ δ᾽ ὑπ᾽ αἰδοῦς εὐδυσώπητον ἐν οἷς οὐ δεῖ, τῶν ἀνοήτων ἐστὶ, παροιμ. κεφ. κϛ.
„ καὶ ἠλιθίων. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. καὶ ὁ σοφὸς κεφ. κ.
„ Σειρὰχ, ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, καὶ ἐκτήσατο
„ αὐτὸν ἐχθρὸν δωρεάν. οὐκοῦν τὸ ἐν καιρῷ ἀνανεύειν, τοῦ ἐπὶ βλάβῃ
τοῦ αἰτοῦντος κατανεύειν ἐπαινετώτερον.

Ἐπειδὴ δὲ τῆς ἐλευθεριότητος μέρος ἐστὶ καὶ τὸ εὖ πάσχειν. δὸς
„ γὰρ καὶ λάβε, φησὶ, καὶ ἀπάτησον τὴν ψυχήν σου. πολλῆς ἀγχι- Σειρ. κεφ. ιδ.
νοίας καὶ φρονήσεως δεῖται τὸ παρασκευάζειν ἑαυτὸν εἰς ὑποδοχὴν
εὐεργεσιῶν, τῶν τε παρὰ θεοῦ, καὶ τῶν παρὰ τῶν ὑπερεχόντων, καὶ
δυναμένων εὐποιῆσαι χορηγουμένων. ἱκανὸν ἡ Χαναναία παράδειγμα,
„ ὅπως δεῖ θεὸν εἰς οἶκτον καὶ εὐποιΐαν κινῆσαι. ναὶ Κύριε, καὶ γὰρ τὰ Ματθ. κεφ. ιε.
„ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν
„ κυρίων αὐτῶν. τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ὦ γύναι,
„ μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. ὁ γὰρ αἰτῶν λαμβάνει, Ματθ. κεφ. ζ.

dum, & quando, & quali promptitudine; nam facile annuere inconvenientia petentibus, innumera est conciliare mala. **Nescitis quid petatis*, inquit Dominus. Ast præ verecundia nimis facile exorari in quibus non oportet, stultorum est & stolidorum. ** *Est* enim *pudor inferens peccatum.* Et sapiens ille Sirach, **Est qui præ confusione promittit amico, & lucratus est eum inimicum gratis.* Igitur tempestive abnuere præstat, quam cum damno petentis annuere, estque laudabilius.

Quandoquidem autem liberalitatis pars est etiam beneficium accipere, *Da* enim *& accipe*, inquit, *& delecta animam tuam*; multa opus est solertia & prudentia, ut quis seipsum præparet ad suscipienda beneficia, cum ea quæ à Deo, tum quæ à superioribus iisque hominibus qui beneficia conferre possunt, suppeditantur. Idoneum est mulier Chananæa exemplum, quomodo oporteat Deum ad miserationem & beneficium commovere. *Etiam Domine, nam & catelli edunt de micis, quæ cadunt de mensa dominorum suorum. Tunc respondens Jesus, ait illi: O mulier magna est fides tua: fiat tibi sicut vis. Qui enim petit, acci-*

Ecclesiastici, 14, 27.
* Matth. 20, 22.
** Prov. 26, 11.
* Ecclesiastici 20, 23.
Matth. 15, 27.
Matth. 7, 8.

καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. ἀνοιγήσεται δὲ ὁ τῷ ῥαθύμως κρούοντι, ὐδὲ τῷ ἅπαξ κρούοντι, ἀλλὰ τῷ ἐπιμόνως, καὶ πολλάκις. τὸ δὲ ἐπίμονον, καὶ ἐπ' ἀνθρώπων δεινὸν, καὶ δραστήριον εἰς θήραν εὐποιΐας. ἐπιτυχεῖς δὲ γιγνόμεθα τῶν αἰτήσεων, αἰτούμενοι κἄντε παρὰ βασιλέως, κἄντε παρὰ φίλων, τὰ δυνατὰ, τὰ δίκαια, τὰ μὴ εἰς ἑτέρου βλάβην τείνοντα, τὰ ἡμῖν προσήκοντα, ὐδ' ἀποτυγχάνομεν αἰτούμενοι παρὰ τῶν διδόντων. ὁ γὰρ παρὰ ἀνδριάντος ὡς ὁ Διογένης ζητῶν, εἰς ἀποτυχίαν ἑαυτὸν ἐθίζει.

Ἐπιτυχεῖς δὲ ὡςταπολλὰ γίγνονται, οἱ τὰς τῶν εὐποιϊῶν εὐκαιρίας παρατηροῦντες. ὁπηνίκα δηλαδὴ ὁ εὐποιήσων ἐν εὐθυμίᾳ καὶ διαχύσει ψυχῆς διατελοίη, ἐπειδὰν μὴ προεκκενώσῃ ἑαυτὸν ταῖς πρὸς ἄλλους εὐεργεσίαις. ὐδὲ γὰρ τοῦ ἐλευθερίου ἀποπειρᾶσθαι προσήκει ἤδη ἀπειρηκότος, ἥ τε γόνιμος καρπῶν γῆ κεκμηκυῖα, ἀνέσεως δεῖται ὅπως νεαροὺς φύσῃ καρπούς.

Ἔχει δὲ κἀκεῖνο πολλὴν ἰσχὺν εἰς εὐποιϊῶν ἐπίτευξιν, τὸ ἅπαξ

pit: & qui quærit invenit: & pulsanti aperietur. Aperietur autem, non segniter nec semel tantum pulsanti, sed instanter & sæpe. Instantia autem & perseverantia etiam apud homines plurimum valet, estque efficax ad aucupandam beneficentiam. Compotes autem simus votorum, poscentes, sive à regibus, sive ab amicis, possibilia, æqua & justa, non ad alterius detrimentum tendentia, nobis convenientia, nec repulsam ferimus à largitoribus. Is enim qui à statua, ut Diogenes, petit, ad repulsam seipsum adsvefacit.

Impetrant autem plerumque etiam, qui beneficiorum oportunitates & occasiones observant. Quando scilicet benefacturus lætitia perfusus fuerit, quando aliis largiendo, seipsum non ante exhauserit. Neque enim liberalis tentandus, jam defatigatus: feraxque fructuum terra, fessa, indiget requie, ut recentes possit producere fructus.

Sed & illud multum valet ad impetrationem beneficiorum, si quis

εὐεργε-

εὐεργετηθῆναι καὶ δίς. φιλοῦσι γὰρ, καὶ πολλάκις εὐεργετοῦσιν οἱ ὑπερέχοντες οὓς ἅπαξ ἔφθησαν εὖ πεποιηκότες, καὶ κήδονται αὐτῶν οἱονεὶ ἰδίων κτημάτων. οἱ δὲ ἐχέφρονες, οὐκ εὐχερῶς προσίενται τὰς
» εὐποιΐας, πολλοῦ τιμῶντες τὴν ἐλευθερίαν. μὴ γίγνεσθε δοῦλοι Κορινθ. ά. κεφ. ζ.
» ἀνθρώπων. πολλοὶ γὰρ εὐποιοῦντες οἱονοὶ ἁλύσεσι δεσμοῦσι ταῖς
» εὐεργεσίαις τοὺς εὖ πεπονθότας. διὸ ὀλίγα δώσει, φησὶ, καὶ πολλὰ Σειρ. κεφ. κ'.
» ὀνειδίσει. ὁ δὲ θεῖος Δαβὶδ ἀποσείεται, καὶ τὰ παρὰ τῶν μοχθηρῶν
» δῶρα. ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. οἱ γὰρ Ψαλ. ρμ'.
τὰ παρὰ τῶν ἀδικούντων προσιέμενοι δῶρα, κοινωνοὶ καὶ αὐτοὶ γίγνονται τῆς ἀδικίας.

ſemel iterumque beneficio affectus ſit. Amant enim ſuperiores & cumulant beneficiis, eos, quos ſemel prævenere merendo, curantque & tutantur eos, tamquam proprias poſſeſſiones. At cordatiores non facile admittunt beneficia, magni æſtimantes libertatem. * *Nolite fieri ſervi hominum.* Multi enim beneficiis conferendis, quaſi catenis ligant beneficiarios. Quare *Exigua dabit*, inquit, *& multa exprobrabit.* Ecclesiaſtici 20, 25. Divus autem David rejicit etiam improborum dona. *Oleum autem peccatoris ne impingvet caput meum.* Pſ. 140, 5. Qui enim ab injuriam facientibus admittunt dona, ſocii quodammodo & ipſi fiunt injuriæ. * 1. Cor. 7, 23.

Περὶ Φρονήσεως.

Κεφάλ. ιζ΄.

Ὄμμα ψυχῆς ἐςιν ἡ Φρόνησις, ἡγεμὼν βίου, μήτηρ πασῶν ἀρετῶν, κατὰ τὸ δέον αὐταῖς χρωμένη, ἀνιεῖσά τε καὶ ἐπιτείνουσα τὰς κατ' αὐτὰς ἐνεργείας, ὡς ἀπαιτοῦσιν οἱ τῆς εὐδαιμονίας
Σολομ. σοφ. κεφ. γ΄. λόγοι. ἀδιάπλωτος ἡ ῥίζα τῆς Φρονήσεως, ἡ σοφία Φησίν. ἀπ' « ἐκείνης ἀναβλαςάνει ὁ τῆς εὐσεβείας καρπὸς, ὁ κολοφὼν τῆς εὐδαι-
ψαλ. λά. μονίας. διὰ γὰρ Φρονήσεως θεῷ κοινωνοῦμεν. διὸ μὴ γίγνεσθέ, Φησιν, «
νβ΄. ὡς ἵππος, καὶ ἡμίονος, οἷς οὐκ ἔςι σύνεσις. καὶ, εἶπεν ἄφρων ἐν « καρδίᾳ αὐτοῦ, οὐκ ἔςι θεός. οἱ γὰρ Φρονήσεως ἔρημοι ἢ θεὸν οὐκ ἐπιγινώσκουσιν, ἢ κακῶς γινώσκουσιν, εἰς δεισιδαιμονίαν καὶ δυσσεβοῦς θρησκείας ἐπίτασιν ἐξολισθαίνοντες. Φρονίμων δ' ἔργον, διὰ τῆς ἐπικτήσεως τῶν ἀρετῶν ἀφομοιοῦσθαι τῷ θεῷ. ὅς τις ὦν, παρὰ Ἰαμβλίχῳ Φησὶν Ἀρχύτας ὁ Πυθαγόρειος, ἀναλῦσαι οἷός τέ ἐντι πάντα τὰ γένεα ὑπὸ μίαν τε καὶ τὰν αὐτὰν ἀρχὰν, καὶ πάλιν συνθεῖναί τε, καὶ συναριθμήσασθαι, οὗτος δοκεῖ μοι καὶ σοφώτατος

CAP. XVII.

De Prudentia & Sapientia.

OCulus animæ eſt prudentia, dux vitæ, mater omnium virtutum, opportune & convenienter illis utens, remittens & intendens earum operationes, ut proſperitatis
Sap. Sal. 3, 15. rationes poſtulant. *Firma eſt radix prudentiæ,* inquit Sapientia. Ab illa enim provenit pietatis fructus, ſumma felicitatis. Per prudentiam enim & ſapientiam cum Deo communicamus. Propterea *Nolite fie-*
Pſ. 31, 9. *ri,* inquit, *ſicut equus & mulus, qui-*
52, 1. *bus non eſt intellectus.* Atque, *Dixit inſipiens in corde ſuo: Non eſt Deus.* Sapientia enim & prudentia deſtituti, Deum vel non cognoſcunt, vel male cognoſcunt, in ſuperſtitionem & nefarii cultus intenſionem prolabentes. Sapientium autem munus eſt, per acquiſitionem virtutum adſimilari Deo. *Quicumque igitur,* inquit apud Jamblichum Archytas Pythagoreus, *reſolvere poteſt omnia genera ſub unum idemque principium, & rurſus componere & connumerare, is videtur mihi ſapien-*

ἡ μὲν

„ ἧμεν, καὶ παναλαθέστατος. ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι, „ ἀφ' ἇς δυνατὸς ἐσσεῖται τὸν θεὸν κατοψεῖσθαι, καὶ πάντα τὰ ἐν τᾷ „ συστοιχείᾳ, καὶ τάξει τὰ ἐκείνω κατακεχωρισμένα, καὶ ταύταν „ ἁρματήλατον ὁδὸν ἐκποριστάμενος, τῷ νόῳ κατ' εὐθεῖαν ὁρμαθῆναι, „ καὶ τελοδρομῆσαι, τὰς ἀρχὰς τοῖς πέρασι συνάψαντα, καὶ ἐπιγνόν- „ τα ὅτι ὁ θεὸς ἀρχά τε, καὶ τέλος, καὶ μέσον ἐστὶ πάντων τῶν κατὰ „ δίκαν τε καὶ τὸν ὀρθὸν λόγον περαινομένων. διαγινώσκει δὲ ὁ ὑπὸ τῆς σοφίας καταυγαζόμενος καὶ τὰ ἄλλα πάντα τὰ ἀγαθὰ, καὶ καλὰ, καὶ συμφέροντα, πάσης ἀντιπάλω κακίας μοῖραν ἐμβριθεστάτη ἀποκαθαίρων διακρίσει. κριτικὴ γάρ ἐστι τῶν προσηκόντων ἔργων ἡ ξύνεσις, τά τε ἐς ἐπιτυχίαν τῶ καλῶ τείνοντα μετὰ πολλῆς ἀγχινοίας καὶ δεινότητος ἀνευρίσκουσα, καὶ οἷα χρυσὸν μεταλλεύουσα τὴν καλὴν μεταλλείαν, εἰς τὴν ἐντελεστάτην εὐδαιμονίαν χειραγωγεῖ τὸν ἑπόμενον αὐτῇ. ἀπλανὴς ἄρα κανὼν ἡ φρόνησις, ἀσφαλὴς ὁδηγὸς, ἄτρεπτος βοηθὸς, βακτηρία ἄθραυστος, ἱερὰ ἄγκυρα. φρόνησις πόλεις κοσμεῖ, οἴκους κατευθύνει, καλλονὴν περιάπτει τῷ ἰδίῳ ἑκάστου βίῳ, εἰς τὸ ἀρχέτυπον κάλλος ἀναφέρουσα, καὶ κατὰ τὴν ἀρίστην

tissimus esse & veracissimus: pulchramque speculam invenisse, unde possit Deum contemplari, & omnia quæ justa serie & ordine ab illo sunt separata: atque hanc viam regiam nactus, mente directe pergere & ad finem contendere, principia terminis jungendo, & agnoscendo, Deum esse & principium & finem & medium omnium quæ jure & recta ratione peraguntur. Dignoscit autem is qui à sapientia illustratur cætera etiam bona omnia & honesta & utilia, omnis mali contrarii portionem gravissima expurgans secretione. Dijudicatrix enim est convenientium operum prudentia, eaque quæ ad consequendum bonum pertinent multa cum sagacitate & solertia invenit: ac velut aurum eruens, præclara metalli fossione, ad perfectissimam beatitudinem manuducit eum qui eam sequitur. Regula itaque minime erronea est prudentia, dux viæ tuta & certa, indefessa auxiliatrix, baculus infractus, sacra anchora. Prudentia civitates ornat, familias & domos regit, decus addit uniuscujusque vitæ, ad primitivam pulchritudinem reducens, & ad simili-

ὁμοιότητα διαζωγραφοῦσα, καὶ τὰ μὲν ἀπαλείφουσα τὰ ἀμορφίαν ἐπάγοντα, πανταχοῦ δὲ τοῦ καλοῦ τὰς εἰκόνας ἀκηράτοις χρώμασι
Ψαλ. μβ'. καταποικίλλουσα. ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου, «
αὐτά με ὡδήγησαν. μόνη γὰρ ἐκείνη ὁρατὰ τὰ ἀληθῆ, τὰ καλὰ, «
τὰ ἀγαθά. αὐτὴ ἀνερευνᾷ καὶ γινώσκει σύστασιν κόσμου, στοιχείων ἐνεργείας, μεταβολὰς ὡρῶν, ἀλλαγὰς χρόνων, ἀστέρων θέσεις τε καὶ κινήσεις, ζώων γεννήσεις, διαφορὰς φυτῶν, δυνάμεις ῥιζῶν, τὰ φανερὰ, τὰ κρυπτά. καὶ ἄλλοις μυρίοις ἀγαθοῖς πλημμυρεῖ, ἅττα διδάσκει τοὺς αὐτὴν φιλοῦντας ἡ πάντων τεχνῖτις σοφία. ἡ φρόνησις ἀνιχνεύει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων. ὑπογράφει τὴν τοῦ ζῆν, καὶ καλῶς ζῆν τέχνην. ἡ φρόνησις δέσποινα τύχης, ζωῆς, ἀξίας, πλούτου, ἡσυχίας ταμίας καὶ χορηγός. φρονήσεως ἀπούσης πάντα κραδαίνεται, κλονεῖται, κυμαίνεται, ναυαγεῖ. ἄνευ φρονήσεως ἡ
ἐν Μένωνι. ἀνδρεία θρασύτης ἐστίν. ὅταν μὲν ἄνευ νοῦ θαῤῥῇ ἄνθρωπος, βλά- «
πτεται· ὅταν δὲ σὺν νῷ, ὠφελεῖται, Πλάτων φησί. καὶ σωφροσύνη «
ὡσαύτως, καὶ εὐμαθία, μετὰ μὲν νοῦ, καὶ μανθανόμενα, καὶ «
καταρτυόμενα, ὠφέλιμα, ἄνευ δὲ νοῦ, βλαβερά. οὐκοῦν οὕτω δή, «

tudinem optimam pingens ac efformans; ea quidem quæ deformitatem afferunt delens, ubique autem honesti imagines intaminatis coloribus variegatas distingvens. *Emitte* Ps. 42, 3. *lucem tuam, & veritatem tuam: ipsa me deduxerunt.* Huic enim soli visibilia sunt vera, honesta & bona. Ipsa perscrutatur & cognoscit mundi constitutionem, elementorum efficaciam, mutationes partium anni, vicissitudines temporum, stellarum situs & motus, animalium generationes, differentias plantarum, virtutes radicum, apparentia, occulta: aliisque innumeris abundat bonis, quæ docet amatores suos omnium rerum artifex sapientia. Prudentia indagat cogitationes hominum. Præscribit artem vivendi, & bene vivendi. Prudentia est arbitra fortunæ, vitæ, dignitatis, divitiarum, tranquillitatis dispensatrix. Prudentia deficiente, omnia vacillant, agitantur, fluctuant, naufragantur. Sine prudentia fortitudo est temeritas. * in Menone. **Quando sine intellectu quis audax est, detrimentum accipit: quando autem prudenter, emolumentum*, inquit Plato. *Sic & temperantia & disciplina si cum intellectu acquirantur & parentur, utilia sunt, sine intellectu autem da-*

φησι,

" φησι, κατὰ πάντων εἰπεῖν ἐςι τῷ ἀνθρώπῳ τὰ μὲν ἄλλα πάντα εἰς
" τὴν ψυχὴν ἀνηρτῆσθαι, τὰ δὲ τῆς ψυχῆς αὐτῆς εἰς τὴν φρόνησιν. διὰ
" τȣ̃το καὶ Ἀριςοτέλης πάσας τὰς ἀρετὰς φρονήσεις εἶναί φησι, καὶ
" ὅτι ȣ̓χ οἷόν τε ἀγαθὸν εἶναι ἄνευ φρονήσεως, ȣ̓δὲ ἔςαι ἡ προαίρεσις
ὀρθὴ ἄνευ φρονήσεως. διὰ τȣ̃το τῷ ἀδίκῳ ȣ̓ παρακολȣθεῖ ἡ φρό-
νησις. δικαςικὴ γὰρ, καὶ τῶν δεόντων ἐπιτακτικὴ, καὶ ὅλως ἡγεμο-
" νική. καὶ πνεύματι ἡγεμονικῷ ςήριξόν με, φησὶν ὁ προφήτης καὶ ψαλ. ν'.
βασιλεὺς, ὅπως δικαίως ἅμα καὶ ἐπιεικῶς διοικῇ τὸ ὑπήκοον. ὁμολο-
γȣ̃σι δὲ πάντες δυσχερεςάτην εἶναι τὴν φρόνησιν, καὶ δυσθήρατον. τȣ̀ς
τε γὰρ τῶν καθόλȣ λόγȣς διὰ τῆς ἀσφαλεςέρας ὁδȣ̃ χωρȣ̃σα ἀπὸ
" τῶν κατὰ μέρος ἐξ ἐπαγωγῆς ἀπομάττεται· ȣ̓̃σά τε ἕξις ἀληθὴς Ἀριςο.
" μετὰ λόγȣ πρακτικὴ, περὶ τὰ ἀνθρώπων ἀγαθὰ καὶ κακὰ, περὶ
" τὰ καθέκαςα ἀσχολεῖται. τῶν δ' ἐπὶ μέρȣς ȣ̓δεὶς βέβαιος λόγος,
διηνεκῶς μετατρεπομένων, καὶ μεταβαλλομένων, σειομένων τε, καὶ
" ἀναλικμωμένων. καὶ ὁ μὲν βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὁ δὲ
" καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὰ, ἡ δὲ κρίσις χαλεπή. πάντα γὰρ
τὰ ἀπαντῶντα τῇ φρονήσει, καθάπερ ἀκάνθαις μυρίαις δυσχερείαις

mnoſa. Ita ergo de omnibus dicere licet, in homine cetera quidem omnia ex anima pendere, ea autem quæ animæ ſunt, ex prudentia. Idcirco & Ariſtoteles virtutes omnes, prudentias eſſe dicit: & fieri non poſſe, ut quis ſit probus ſine prudentia: neque erit recta & vera voluntas, ſine prudentia. Quare injuſtum hominem haud comitatur prudentia. Hæc enim judicat, & officia imperat, omninoque principalis eſt. **Et ſpiritu principali confirma me*, inquit regius propheta, ut juſte ſimul & clementer moderetur ſubjectos. Fatentur autem omnes, rem maxime arduam eſſe prudentiam, difficilemque captu. Nam & generales rationes tutiore via incedens, à partialibus per inductionem exprimit formatque: &, *cum ſit habitus verus, cum ratione efficax, circa hominum bona & mala, eſt occupata circa ſingularia.* Ceterum partialium nulla certa eſt ratio, ut quæ perpetuo convertantur, & mutentur, & concutiantur atque ventilentur. Et, *Vita quidem brevis, ars autem longa, tempus velox, experientia lubrica, judicium autem difficile.* Omnia enim prudentiæ objecta, veluti ſpinis, innumeris dif-

Ariſtot. 6. Nicom.cap.5.

* Pſ. 50, 14.

V 2 πειρέρ-

περιείργεται, τόν τε ἐγχειροῦντα ὁτῳοῦν ἔργῳ, ἀνάγκη πολλῶν ἀνέχεσθαι, καὶ δι' αὐτῶν τῶν ἀκανθῶν χωρεῖν, κεντούμενον, νυττόμενον, σπαραττόμενον, καὶ μετὰ μυρίου πόνου μόλις τοὺς καρποὺς δρεπόμενον. ὃς ἄρα ἄνευ τοῦ πονῆσαι τὴν ἐπιτυχίαν τοῦ καλοῦ φαντάζεται καὶ ὀνειροπολεῖ, καὶ πάντα πόνον ἀποδιδράσκει, καὶ ὁτιοῦν ἀποκναίον χαυνότητος ἀποκλίνει περιουσίᾳ, ἐκεῖνος ἐν σκότει καθήμενος, * ἀκλεῆ καὶ ἀνώνυμον βίον γεωργήσει, ἁπάντων ἀγαθῶν θείων τε καὶ ἀνθρωπίνων ἄμοιρος. (τὰ ἐν τοῖς ἀπομνημο. Ξενοφ.) ἐν δὲ τῷ ἐπικήρῳ βίῳ, καὶ μάλιστα ἐν πολιτείᾳ φυρομένοις, μηδὲν ἀπαντᾷ μηδὲν, πάντη τέλειον, πάντη ἀναίτιον, καὶ πανάμωμον, καὶ εὐχερὲς, ἀλλὰ πᾶν ἀγαθὸν μυρίοις δεινοῖς περιστοιχίζεται. ἀγχινοίᾳ δὲ καὶ ξυνέσει χρωμένοις, αἱρεῖσθαι προσήκει τὰ βελτίω. ἐνίοτε γὰρ δύο κακῶν προκειμένων, τὸ μὴ χεῖρον ἐξ ἀνάγκης ὡς βέλτιον αἱροῦνται οἵ γε νοῦν ἔχοντες. νέφος δὲ παχὺ περὶ τὰ πράγματα κέχυται, καὶ τοῖς μὲν παρεληλυθόσιν ἢ λήθης ἀχλὺς ἐπισκοτεῖ, ἢ μυθώδεσι, καὶ ἀτόποις, καὶ ἀήθεσι διηγήσεσιν ὡς ταπολλὰ τὸ ἀκραιφνὲς αὐτῶν ἀμαυρούμενον διοίχεται, ὥστε πάνυ δύ-

ficultatibus obſita ſunt, & neceſſe eſt negotium aliquod ſuſcipientem multa pati, perque ipſas incedere ſpinas, quibus pungitur, fodicatur, laceratur, cum labore maximo vix tandem fructus decerpentem. Igitur qui ſine labore adeptionem boni imaginatur & ſomniat, omnesque moleſtias fugitat, quasvis defatigationes præ nimia laxitate declinat, ille in tenebris ſedens, ingloria atque ignobili fruiſcetur vita, omnium bonorum & divinorum & humanorum expers. (Xenophontea, ex Apomnem.) In hac autem fluxa & caduca vita, præſertim in Rep. verſantibus, nihil omnino occurrit usquequaque perfectum, per omnia innoxium & inculpabile, & facile, ſed omne bonum ſexcentis circumſtipatur malis. Sagacitate autem & prudentia utendo, eligenda meliora. Aliquando enim duobus malis propoſitis, id quod non eſt pejus neceſſario, ut melius eligunt cordati. Nubes autem denſa circumfuſa eſt rebus, atque præterita quidem aut oblivionis caligo obtenebrat, aut fabuloſis & abſurdis atque inſvetis narrationibus plerumque puritas eorum obſcurata perit, ita ut omni-

σκολόν

σκολόν ἐστιν ἀπὸ τοῦ πλημμυροῦντος ψεύδους ἀνιμήσασθαι τὴν ἀλήθειαν, τὴν ἐν τῷ πυθμένι τοῦ χρόνου συνιζηκυῖαν. τά τε πρὸ ὀμμάτων ὑπὸ τῶν παθῶν συντεθόλωται, καὶ πολλῆς ἐπιπολαζούσης ἀπ᾽ ἐκείνων ὁμίχλης, μόλις ἀμυδρῶς διαφαίνεται· τὸ δὲ μέλλον ἄδηλον, καὶ ὡς τὰ πολλὰ τῶν ἡμετέρων εἰκασμῶν ἀνώτερον, τοῖς ἀῤῥήτοις καὶ ἀνεξιχνιάστοις τῆς ἀνωτάτω προνοίας λόγοις διεξαγόμενον. ἀλλὰ καὶ τὰ κατὰ φύσιν, τάγε ὡς ἐπιτοπολὺ κατὰ τοὺς πεπηγότας χωροῦντα νόμους, ὑποκλέπτοντα τὰς ἀληθεῖς αἰτίας, καὶ τὴν ἐσωτέραν ὄψιν, μυρίοις, ἀπατηλοῖς εἰδώλοις καὶ φάσμασι παράγει τὸν ἐφεδρεύοντα τοῦ ἀνθρώπου νοῦν. οὐ μόνον γὰρ ἡ τοῦ δημιουργοῦ τῶν ὅλων θεοῦ οὐσία
" ὑπερανέστηκε τὴν ἡμετέραν ἀσθένειαν, νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ· ψαλ. ϟϛ´.
ἀλλὰ καὶ τῶν κτισμάτων οἱ λόγοι δυσεφικτοί εἰσι τῷ ἀνθρωπίνῳ νοΐ.
" καὶ τὰ θαυμάσιά, φησιν, αὐτοῦ ἐν βυθῷ. καὶ, πολλὰ ἀπόκρυφά ρϛ´.
" ἐστι μείζονα τούτων. ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ. Τέθηπεν Σειρ. κεφ. μγ´.
ἄρα ἡ φρόνησις καὶ ἐλιννύει εἰς τηλικοῦτον ἐμπεσοῦσα θόρυβον. καὶ εἴγε μὴ ὑπὸ τῆς θείας ἐλλάμψεως ἀνορθοῖτο, καὶ χειραγωγοῖτο, ἀληθείας φαντασίᾳ τοῦ μυθευομένου Ἰξίονος δίκην, ἀμυδρῶν περι-

no difficile ſit à redundante mendacio haurire veritatem, in imo temporis fundo conſidentem: præſentia etiam & quæ præ oculis ſunt, ab affectibus turbulenta redduntur, multaque inde inhærente nebula, vix obſcura apparent; futurum autem incertum eſt, & plerumque ſupra conjecturas noſtras poſitum, atque arcanis ac inveſtigabilibus ſupremæ providentiæ rationibus regitur. Sed etiam ordine naturæ & plerumque fixis procedentia legibus, occultantia veras cauſas interioremque adſpectum, innumeris ſimulacris & ſpectris ſeducunt iminentem ipſis hominis mentem. Non enim ſolum Creatoris omnium rerum eſſentia excedit noſtram imbecillitatem, *Nubes & caligo in circuitu ejus*; ſed etiam creaturarum rationes, arduæ ſunt humano intellectui, *Et mirabilia ejus in profundo.* Item, *Multa abſcondita ſunt majora his: pauca enim vidimus operum ejus.* Stupet igitur & hæret prudentia in tantum illapſa tumultum. Ac niſi divina illuminatione erigatur & manuducatur; veritatis imaginatione, inſtar Ixionis illius in fabulis, obſcuras ample-

Pſ. 96, 2.
Pſ. 106, 24.
Eccleſiaſtici, 43, 36.

ψαλ. ρμβ΄. δραττομένη σκιῶν, ἄνεμον κυοφορεῖ, οὔρια τίκτει. διὸ τὸ πνεῦμά σου « τὸ ἀγαθόν, φησιν, ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. φιλανθρωπευόμενον « δὲ τὸ θεῖον, ἔδωκε τῇ φρονήσει καλοὺς κἀγαθοὺς δορυφόρους καὶ συνεργούς, τὴν ἐμπειρίαν, τὴν μνήμην, τὴν ἐπιτευκτικὴν τῶν ἐν τοῖς πρακτικοῖς βελτίστων καὶ συμφορωτάτων εὐβουλίαν, τὴν ἐκ τῶν φανερῶν καὶ τὰ ἀφανῆ θηρωμένην, καὶ ἐξ αὐτοσχεδίου ἐπιτυχῆ τοῦ καθήκοντος ἀγχίνοιαν, τὴν πάσῃ μηχανῇ ἐς τὸ τέρμα διατεινομένην δεινότητα, τὴν διαγινώσκουσαν, καὶ τῶν ἀκηράτων τύπων τοὺς κιβδήλους
ριή. ἀποκρίνουσαν διάκρισιν· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς « σου. καὶ τὰς ταύταις ἀδελφὰς δυνάμεις. αἷς ἐπερειδομένη ἡ φρόνησις, « καὶ ταῖς ὁσημέραι ἀσκήσεσι καὶ μελέταις κατασφαλιζομένη, τοῖς τε ἰδίοις καὶ τοῖς ἀλλοτρίοις παθήμασι * διδασκομένη, ἀσφαλῶς ἕξει, θεοῦ συναιρομένου περὶ τὴν τοῦ ἀληθοῦς, καὶ καλοῦ, καὶ ἀγαθοῦ θήραν. ἀμέλει χρῶ ξυνέσει καὶ διακρίσει, στάθμιζε τὴν σεαυτοῦ δύναμιν, καὶ
Σειρ. κεφ. λζ΄. μὴ ἐπιφορτίζου ὑπέρογκα ἄχθη. οὐ γὰρ πάντα πᾶσι συμφέρει. οὐδὲ «
κεφ. δ΄. δεῖ βιάζεσθαι ῥοῦν ποταμοῦ. πάντα μέτρῳ, καὶ ἀριθμῷ, καὶ « σταθμῷ δημιουργεῖται καὶ περιορίζεται. γνῶθι τοίνυν σεαυτόν, γνῶθι

* Pſ. 118, 73. Pſ. 142, 10.

ctens umbras, ventum concipit, & irrita parit. Quapropter, *Spiritus tuus bonus*, inquit, *deducet me in terram rectam.* Ceterum clementia divina dedit prudentiæ bonos ſtipatores & cooperatores, experientiam & memoriam, conſilium aptum conſequendo eo quod in rebus gerendis optimum ſit & utiliſſimum: ſagacitatem, ex evidentibus imperſpicua indagantem, & extempore aſſequentem rei convenientia: acrem ſolertiam, quæ quovis pacto ad finem contendit: judicium, quod dignoſcit & ab intemeratis notis adulterinas diſcernit: **Da mihi intellectum, & diſcam mandata tua:* aliasque his affines dedit facultates. Quibus innitens prudentia, & quotidianis exercitiis ac meditationibus ſeſe muniens ac firmans, propriis & alienis malis diſcens, non falletur, Deo opitulante, in veri & honeſti & boni inveſtigatione. Nimirum utere intellectu & judicio, pondera vires tuas, & ne ſubeas nimiæ molis onera. *** Non enim omnia omnibus expediunt: * Neque conandum contra fluxum amnis.* Omnia menſura & numero & pondere conficiuntur & limitantur. Noſce ergo teipſum,

** Eccleſiaſtici 37, 31. * cap. 4, 27.

τὰ πρά-

τὰ πράγματα, τὰ ἐγχειρήματα, γνῶθι τοὺς ὁμιλοῦντάς σοι, τοὺς
„ συμπολιτευομένους. ἐν μεγάλῳ, καὶ ἐν μικρῷ μὴ ἀγνόει. γνῶθι τὰ Σειρ. κεφ. ι.
„ ἐλαττώματα τῆς σῆς γλώττης, μὴ εἰς ἀδολεσχίαν ἔκπιπτε. ἀνὴρ γὰρ ψαλ. ρλθ'.
„ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. γνῶθι τὴν ἀσθένειαν
τοῦ σοῦ σώματος, μὴ κατάτρυχε σεαυτὸν, ἵνα μὴ ἐς γόνυ κάμψῃς.
πηξάμενός τινα σκοπὸν, οὕτως ἐς ἔργον χώρει, καὶ μὴ ἀποκάμῃς
„ ἀναῤῥιχώμενος εἰς τὴν ἀκρώρειαν τῆς ἀρετῆς. προωρώμην τὸν Κύριον ψαλ. ιε'.
„ ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.

Ἔσο μεστὸς φρενῶν, ἀγχίνους, ξυνετὸς ἐπὶ ἐκλογῇ προσώπων, ἀνερευνῶν τὴν ἐπιτηδειότητα, τὴν δύναμιν, τὴν ῥοπὴν, τὸ βέβαιον, τὸ σαθρὸν, τὴν εὔνοιαν αὐτῶν περὶ σὲ καὶ περὶ τὰ σπουδαζόμενα.

Ἔσο δὲ εὔβουλος καὶ εὔστοχος ἐπὶ αἱρέσει πραγμάτων, γνῶθι ἡ σὴ φύσις ποῖ ῥέποι, μὴ ἀδυνάτοις τό γε εἰς σεαυτὸν ἧκον ἐπιχειροίης. μηδὲν πρᾶττε τῶν παθῶν κυμαινομένων, ἐν γαλήνῃ καὶ ἀταραξίᾳ ὁ νοῦς ἰνδάλλεται τὴν ἀλήθειαν, καὶ τῷ ἡλίῳ ἐπισκοτεῖ τὰ νέφη. σχολαίῳ βάδιζε τῷ ποδὶ, μιμητὴς γίγνου τῆς φύσεως, οἱ τυφλοὶ οὐδέποτε προσκόπτουσι χρώμενοι βακτηρίᾳ. ἔχεις ὁδηγὸν τὴν ἐμπειρίαν.

nosce res & cœpta, nosce eos qui tibi loquuntur & in Rep. tecum versantur. * *In magno & parvo ne sis ignorans.* Nosce defectus linguæ tuæ, noli in garrulitatem prolabi. ** *Vir enim linguosus non dirigetur in terra.* Nosce infirmitatem corporis tui, noli affligere teipsum, ne genua labent. Scopo aliquo fixo sic deinde ad opus procede, neu defetiscaris adrepens in cacumen virtutis. * *Providebam Dominum in conspectu meo semper: quoniam à dextris est mihi, ne commovear.*

Sis cordatus, sagax, prudens in eligendis personis, explorans utilitatem, vires propensionem, firmitatem, debilitatem, benevolentiam & studium cujusque erga te & erga ea in quibus elaboratur.

Esto consultus, & considera quid agendum suscipias, cognosce quo natura tua vergat, ne ea quæ tibi sunt impossibilia aggrediaris. Noli quidquam agere affectibus fluctuantibus; in tranquillitate & statu imperturbato mens formam veri concipit: etiam solem obscurant nubes. Lento incede gradu, imitare naturam, cæci baculo utentes nunquam impingunt. Habes ducem experientiam. Sis cognitor,

* Ecclesiastici, 5, 15.

** Ps. 139, 12.

* Ps. 15, 8.

ἔσο

ἔσο ἐπιγνώμων, ἀναθεώρει πολλάκις τά τε προηγούμενα καὶ τὰ ἑπό-
μενα, καὶ ἐπιδιόρθου ὅπῃ παρείκοι σεαυτόν τε καὶ τὰ μετὰ χεῖρας.
μηδὲν εἰκῆ, μηδὲν πάρεργον ἔσω σοι. ἔχε ὅμως ἐν προχείρῳ καὶ τὴν
ἕξιν τῆς ἀνεπιμώμου δεινότητος. ἐνίοτε γὰρ ἐπὶ * ξυροῦ ἀκμῆς τῶν
πραγμάτων ἱσταμένων, μόνη ἡ δεινότης καὶ περίνοια ὡς ἐκ μηχανῆς
θεὸς ἐν δράματι αὐτοσχεδιάζει τὰς θεραπείας, ἐξ ὑπογύου βραβεύου-
Σοφ. κεφ. δ'. σα τῶν δεινῶν τὴν λύσιν. διὸ συντήρησόν, φησι, καιρὸν, καὶ φύλαξαι "
Γρηγ. θεο. ἀπὸ πονηροῦ, καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς. ᾧ γὰρ φανερῶς "
βιάζεσθαι μὴ δυνατὸν, τούτῳ συγγνωστὸν τὸ τῆς περινοίας. προηγεί- "
σθω σύντομος, ἀλλὰ σύντονος καὶ διάπυρος εὐχὴ, πρὸ τῆς τῶν
ψαλ. ρμβ'. πρακτέων αἱρέσεως τὸν ὀρθὸν λόγον διιθύνουσα. γνώρισόν μοι Κύριε "
ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. εὐχὴ πάλιν "
ἑπέσθω μετὰ τὴν αἵρεσιν. θεοῦ γὰρ παρόντος καὶ συνεφαπτομένου,
πάντα καλῶς προβαίνει, ἄνευ δὲ τοῦ ἐκεῖθεν φωτὸς παλλόμενος καὶ
πλαζόμενος, οὐκ ἔχει στῆσαι ἑαυτὸν ὁ ταλαίπωρος ἄνθρωπος, παντὶ
ψαλ. οε. λίθῳ προσκόπτει, σχετλίως ἀπαλλάττει. ἐταράχθησαν πάντες οἱ "
ἀσύνετοι τῇ καρδίᾳ. ἴσθι ὅτι σωτηρία ἐν πολλῇ βουλῇ, τῇ πολυχειρίᾳ "

considera identidem antecedentia & consequentia, atque corrige, quatenus conceditur, & teipsum & ea quæ in manibus habes tractasque. Nihil temere, nihil perfunctorie agas. Habeto in promptu etiam habitum acris solertiæ non vituperandæ. Aliquando enim summo in discrimine rerum sola hæc acris solertia, tamquam deus ex machina in theatrali fabula, tumultuaria præstat remedia, subito dispensans malorum solutionem. Quapropter *Conserva*, inquit, *tempus, & devita à malo, & pro anima tua ne confundaris. Palam enim cogere non valenti ignoscenda solertia vafra.* Præcedat brevis sed enixa & ardens precatio, ante susceptionem operis rationem dirigens. *Notam fac mihi Domine viam in qua ambulem: quia ad te levavi animam meam.* Precatio rursus sequatur susceptionem. Deo enim præsente & juvante, omnia bene procedunt; contra nisi inde illuminetur, palpitans & errans non potest firmare sese miser homo, ad omnem lapidem offendit, miserabiliter desinit. ** *Turbati sunt omnes insipientes corde.* Scias, salutem esse in multo consilio, multitudine ma-

* Ps. 142, 8.
** Ps. 75, 6. Ecclesiastici, 4, 23. Gregor. Theol.

κατορθοῦ-

κατορθοῦται τὰ μεγάλα καὶ ἀξιάγαστα τῶν ἔργων. γυμνὰ δὲ, καὶ πάσης μαγγανείας χωρὶς ὑπ᾽ ὄψιν δεῖ λαμβάνειν τὰ πράγματα, ἀπογυμνοῦντα τοῦ τε ἐπικερδοῦς, καὶ τοῦ ἐπιδόξου, καὶ παντὸς ἑτέρου χρώματος. στοχάζου δὲ πρῶτον εἰ καλὸν, εἰ δυνατὸν τὸ πρακτέον, ἔπειτα ζυγοστάτει τά τε συμφέροντα καὶ τὰ βλάπτοντα. τὰ γὰρ ὀνόματα καὶ αἱ σκιαὶ τῶν πραγμάτων, πολλοὺς τῶν ἀφρόνων καταπλήττουσιν, οἱ δὲ ἔμφρονες παραδραμόντες τὰς σκιὰς, τῆς οὐσίας καὶ τοῦ μυελοῦ ἀπρὶξ ἀντέχονται. τὸ, * οὐκ ἐλογισάμην, οὐ προσεδόκησα εἰς τοὺς ἄφρονας ἀπερρίφθω. καὶ ἀκριβοῦς μὲν ἐρεύνης χρεία (ὡς ἔφθημεν εἰπόντες) μετ᾽ ἀγχινοίας καὶ δεινότητος, ἀλλ᾽ ὥσπερ χάρυβδιν φεῦγε καὶ τὴν ἐν τῷ φρονεῖν ἀκρασίαν, τὴν πόῤῥω τῆς ἀξιαγάστου ἁπλότητος
„ τῆς φίλης θεῷ. ὁ θεῖος Παῦλος, μὴ ὑπερφρονεῖν, φησι, παρ᾽ ὃ δεῖ ῥωμ. κεφ. ιβ.
„ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. Ἐπανθείτω ἄρα καὶ τῇ φρονήσει σωφροσύνη. φεῦγε τὴν εἰς ἀπάτην τείνουσαν πανουργίαν, τὴν φενα-
„ κίζουσαν ἔμφρονος δεινότητος ὀνόματι. κρῖνόν μοι Κύριε, μετὰ πολλῆς ψαλ. κϛ.
„ τῆς παῤῥησίας φησὶν ὁ Δαβὶδ, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην,
„ καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω. γειτνιάζει ταῖς ἀρεταῖς

nuum & operarum perfici ingentia & admiranda opera. Nudæ autem & remotis omnibus lenociniis ſubjiciendæ oculis res, denudatæ omni quæſtuoſo & glorioſo, aliove quovis colore. Contemplator, an honeſtum, an poſſibile, quod agendum, deinde perpende, quid expediat, quid obſit. Nomina enim rerum & umbræ, plerumque ſtupefaciunt inſipientes; at prudentes, præteritis umbris, eſſentiæ ipſi & medullæ tenaciter inhærent. Illud, non putaram, non ſperaſſem, ad inſipientes rejiciatur. Et ſcrutatione quidem ſcrupuloſa eſt opus, (ut jam diximus) cum ſagacitate & acri ſolertia; ſed tamquam Charybdin fuge etiam in ſapiendo intemperantiam, longe remotam ab admiranda ſimplicitate Deo grata. Divus Paulus, *Non plus ſapere*, inquit, *quam oportet ſapere, ſed ſapere ad ſobrietatem.* Eniteat igitur etiam in ſapiendo temperantia. Fuge verſutiam quæ ad fraudem & fallaciam tendit, quæ imponit & decipit prudentis ſolertiæ nomine. *Judica me Domine*, magna cum fiducia dicit David, *quoniam ego in innocentia mea ingreſſus ſum: & in Domino ſperans non infirmabor.*

Rom. 12, 3.

Pſ. 25. 1.

ἡ κακία, καὶ πολλάκις ἀλλότριον ὑποδῦσα προσωπεῖον, παράγει τοὺς ἑαυτοῖς μὴ προσέχοντας. πρόσεχε σεαυτῷ, ἡ προσοχὴ φύλαξ ἀρετῆς, ἄγρυπνος θυρωρὸς αἰσθήσεων. μὴ ξυγχώρει ταῖς αἰσθήσεσι καὶ τῷ νοῒ πλανᾶσθαι ἔνθεν κἀκεῖθεν, μὴ κατάτριβε σεαυτὸν πολλαῖς καὶ εἰκαίαις ἀσχολίαις. πρόσεχε σεαυτῷ ἀπὸ ἐχθρῶν, ἀπὸ κολάκων, ἀπὸ φίλων. ἔσο προμηθεὺς καὶ προσοχαστικὸς τῶν δεόντων. μὴ ἔσο πολυπράγμων, μὴ ψηλάφιζε ἀλλοτρίους μώλωπας. ἁπλοῦς ἔστω σοι ὁ τῆς ψυχῆς ὀφθαλμὸς, μέμνησο ὅτι οὐκ εἶ κύριος σεαυτοῦ· πηγὴ τῶν κακιῶν τὸ μὴ προσέχειν ἕκαστον ἑαυτῷ. πρόσεχε σεαυτῷ ἐν βουλῇ, ἐν κρίσει, ἐν γνωμοδοτήσει, καὶ κατακρίσει, ἀριστῶν,
ψαλ. ριή. δειπνῶν, κοιμώμενος. ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, καὶ „
ᾆσμα. κεφ. ε. ἐφύλαξα τὸν νόμον σου. καὶ, ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου „
ἀγρυπνεῖ. πρόσεχε σεαυτῷ ἐν ἐπιθυμίαις, ἐν ὀργαῖς, χαίρων, λυπούμενος, μὴ εἰς ἀμετρίαν ἐκπέσῃς· νεμεσῶν, μὴ φθόνῳ περιπαρῇς· σωφρονῶν, μὴ φυσιωθῇς· φοβούμενος, μὴ ἐκστῇς. πρόσεχε σεαυτῷ ἐν μεγαλοψυχίᾳ, ἐν μεγαλοπρεπείᾳ. μὴ ἐλευθεριότητι συγχέῃς τὴν φειδῶ. μὴ σφαδάζῃς καὶ κατασπαθᾷς περὶ τὴν

Vicinum enim eſt vitium virtutibus, & ſæpe alienam perſonam induens, ſeducit minus attentos. Sis
*Pſ. 118, 55. attentus. Attentio cuſtos eſt virtutis, vigilans janitor ſenſuum. Ne ſinas
** Cant. 5, 2. ſenſus mentemque errare huc illuc. Ne atteras teipſum multis & ſupervacuis negotiis. Cave tibi ab inimicis, ab adulatoribus, ab amicis. Eſto providus, & conjecturis præcipe convenientia ac neceſſaria. Noli eſſe curioſus, ne palpa alienos vibices. Simplex tibi ſit animæ oculus. Memento, te non eſſe dominum tui ipſius. Fons malorum eſt, attentum non eſſe & cautum.

Sis attentus & cautus in judicando, in ſententia ferenda, in condemnando, prandens, cœnans, cubans. **Memor fui nocte nominis tui Domine : & cuſtodivi legem tuam.* Item, ** *Ego dormio, & cor meum vigilat.* Sis attentus in cupiditatibus, in ira, gaudens, mœrens, ne modum excedas : cum indignaris, ne in livorem incidas : cum ſapis, ne infleris : in timore, ne totus expaveſcas. Sis attentus in magnanimitate & magnificentia, ne cum liberalitate confundas parſimoniam; ne luxurieris, ne dilapides

ἐκτέ-

ἐκτένειαν. εὐεργετητέον γὰρ τὸν πλησίον, ἀλλ᾽ εὐεργετητέον διὰ τὸν θεόν. ὀφείλουσιν ὅμως οὐ μόνον οἱ τοὺς πτωχοὺς ἐλεοῦντες μὴ σαλπίζειν ἔμπροσθεν αὐτῶν, ἀποκλίνοντες δηλαδὴ τὴν ὑπόκρισιν, ἀλλ᾽ ἁπλῶς καὶ οἱ ἐλευθεριότητα ἀσκοῦντες ὅσον ἐφικτὸν οἰκονομήσουσι τὰς ἐπιχορηγήσεις μετά τινος συστολῆς, ἑαυτῶν ἅμα καὶ τῶν εὐεργετουμένων
" φειδόμενοι. ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός. ἀλλὰ τὸ ἱλαρὸν παρ. κεφ. κβ.
ἐν τῇ ῥοπῇ τῆς ψυχῆς ὑφέστηκεν, οὐκ ἐν τῷ τὴν εὐποιΐαν ἐκπομπεύειν, καὶ εἰς ἀκαίρους αἰτήσεις τοὺς πολλοὺς διερεθίζειν. οἱ δὲ πολιτικοῖς ἀξιώμασι διαπρέποντες, καὶ δημοθοινίαις καὶ πανηγύρεσιν εἰς εὔνοιαν ἀναρτῶσιν οὓς εὐνοεῖν αὐτοῖς ἐθέλουσι, κρυφίως τε καὶ φανερῶς εὐεργετοῦσι τοὺς ἀξίους, ὅπως ὁρῶντες τιμωμένην τὴν ἀρετὴν, τὴν ἀνδρείαν, τὴν περὶ τὰς λειτουργίας ἑτοιμότητα, πάντες τὰ αὐτοῖς ἐπιβάλλοντα προθυμότερον ἐκπληρώσωσιν, ἀγαθαῖς ἐλπίσι πληρούμενοι. πρόσεχε σεαυτῷ μὴ μόνον ἄλλοις συμβουλεύων, ἀλλὰ καὶ σὺ συμβουλὴν παρ᾽
" ἑτέρων αἰτούμενος. οἱ σύμβουλοί σου εἷς ἀπὸ χιλίων. σωτηρία μὲν Σειρ. κεφ. ς.
γὰρ ὑπάρχει ἐν πολλῇ βουλῇ, καὶ δεῖ τὸν εὖ φρονοῦντα συμβουλεύεσθαι

in largitione. Benefaciendum enim proximo, sed benefaciendum propter Deum. Debent tamen non illi ſolum qui erga pauperes exercent miſericordiam, non buccinare ante ſe, declinantes ſcilicet invidiam; ſed ſimpliciter, qui liberalitatem etiam exercent, quantum ejus fieri poteſt, diſpenſabunt largitiones cum quadam cohibentia, ſibi ipſis pariter & beneficiariis parcentes. * *Hilarem datorem amat Deus.* Sed hæc hilaritas in animæ propenſione conſiſtit, non in pompatica oſtentatione, qua multi incitantur ad importunas petitiones. Ii vero qui dignitatibus & honoribus in Rep. ornati ſunt, etiam epulis publicis & ſolennitatibus feſtivis ad benevolentiam ſibi devinciunt, quos benevolos ſibi eſſe volunt: ac modo occulte, modo aperte, juvant dignos beneficiis; ut, videntes in honore eſſe virtutem, fortitudinem, promptitudinem circa munia obeunda, omnes officia ſua alacrius expleant, in bonam ſpem erecti. Sis attentus & cautus, non ſolum in dando aliis conſilio, ſed etiam ab aliis petens. *Conſiliarii tui unus de mille.* Salus nempe exiſtit in multo conſilio, atque oportet ſanum & ſa-

*Prov. 22, 8.

Eccleſiaſtici 6, 6.

περὶ τῶν πρακτέων. τότε μέντοιγε καλῶς ἀποβήσεται αὐτῷ τὰ τῆς βουλῆς, ὁπηνίκα μηδὲν ἐπικρύψηται, ἀλλὰ πάσας τὰς εἰς νοῦν ἡκούσας περιστάσεις ἀνακαλύψει τῷ συμβούλῳ, ὅπως μὴ τυφλὸς τυφλὸν ὁδηγεῖν ἀναγκάζοιτο.
σειρ. κεφ. δ. μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίας σου. « ὀφείλει δὲ ὁ σύμβουλος εἶναι χρηστὸς, ἀγχίνους, καὶ εὔνους ἡμῖν· ἀπὸ
κεφ. λζ. τῶν ζηλούντων σε κρύψον βουλήν. καὶ τὴν μὲν χρηστότητα, ὁ παρελθὼν βίος δηλώσει, οὐδεὶς γὰρ ἐξ αὐτοσχεδίου μοχθηρός· τὴν δὲ ἀγχίνοιαν, ἡ περὶ τῶν οἰκείων οἰκονομία βεβαιώσει. δεῖγμα δ' εὐνοίας, ἀπουσία φιλαυτίας. εἰσὶ γὰρ ἔνιοι ἀγχινοίᾳ τε καὶ φρονήσει κεκοσμημένοι, ἀλλὰ μόνον ἑαυτοῖς φρόνιμοι, καὶ ὡς περὶ κέντρον εἱλούμενοι περὶ τὸ ἴδιον κέρδος. πρὸς οὓς φησιν ὁ Σολομὼν, υἱὲ ἐὰν σοφὸς γένῃ «
παρμ. κεφ. θ. σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον. ἔξεστι γὰρ καὶ τῆς ἰδίας « ἀσφαλείας μὴ ἀμνημονοῦντα, τῷ αἰτουμένῳ βουλὴν ὑποτιθέναι τὰ ἀσφαλῆ καὶ σωτηριώδη. ἐκεῖνος δὲ βέβαιος σύμβουλος, ὃς καὶ ἐν τῇ ἐγχειρήσει κοινωνὸς γίνεται τῆς τε εὐκλείας, καὶ τῶν κινδύνων. Ἔσω δὲ ἀχιλλεὺς τοῦ λόγου ἕδρα τε, καὶ κορυφὴ φρονήσεως. πρῶτον

pientem consultare de rebus agendis. Tum demum tamen bonos habebit eventus ejus consultatio, quando nihil celaverit, sed omnes circumstantias quæ in mentem veniant revelaverit consiliario; ne
* Prov. 9, 12. Ecclesiastici 4, 31. cœcus cœcum ducere cogatur. *Non confundaris confiteri peccata tua.* Debet autem consiliarius esse vir probus, sagax, nobis benevolus.
cap. 37, 7. *Ab æmulantibus te absconde consilium.* Ac probitatem quidem anteacta vita declarabit, nemo enim subito improbus: sagacitatem autem rerum propriarum administratio confirmabit: benevolentiæ argumentum erit, absentia amoris proprii. Sunt enim aliqui sagacitate quidem & prudentia præditi, sed sibi solis sapientes, qui circa proprium emolumentum versantur tamquam circa centrum, in quos dictum Salomonis competit, * *Fili, si sapiens fueris tibi ipsi, sis sapiens etiam proximis.* Fas enim, proprii commodi haud immemorem, petenti consilium, suggerere quæ tuta sint & salutaria. Sed ille certus est consiliarius, qui etiam in conando socium sese præbet cum gloriæ tum periculorum. Summa autem sit rationis, fundamentumque & apex prudentiæ,

τε ἀμα

τε ἅμα καὶ κυριώτατον αὐτῆς ἔργον, τὸ πρὸ ὁποιασοῦν ἐγχειρήσεως προστρέχειν θεῷ, καὶ ἀνακαλύψαντα ἐν ταπεινώσει τὴν αὑτοῦ ἀσθέ-
„ νειαν, ζητεῖν τὴν ἐκεῖθεν ἐπικουρίαν. ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν ψαλ. ρμα.
„ μου. καὶ πάλιν, ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν. φανέρου ξα.
σεαυτὸν ὡς τὰ πολλὰ θεῷ, φησὶν ὁ μέγας Βασίλειος. παρέσται πάντως τῷ αἰτουμένῳ ἡ ἄνωθεν ἐπικουρία, καὶ διασκεδάσασα τὸ περικείμενον τοῖς πράγμασι νέφος, φανερὰν ποιήσει τὴν ἄλλως λανθάνουσαν ἐνδόμυχον ὄψιν, καὶ χειραγωγήσει ἐς τὴν αἵρεσιν τῶν δεόντων, καὶ ἐπινεύσει τῇ θερμότητι τῆς εὐχῆς, καὶ συνεπιλαμβανομένη οὐκ ἀποστήσεται μέχρι τέρματος, ὁτὲ μὲν φανερῶς προδεικνυμένη τὴν αὐτῆς ἰσχὺν, καὶ λύουσα πᾶσαν ἀμηχανίαν, τρόποις ἐγγὺς οὖσι θαύματος· ὁτὲ δὲ ἀνεπαισθήτως διὰ τῶν φυσικωτέρων αἰτιῶν καὶ μέσων διήκουσα, ἵνα μή τε τὴν ἀνέκαθεν τῶν ὄντων τάξιν ἀνατρέψῃ, καὶ τὴν ἡμετέραν δοκιμάσῃ διάθεσιν. οὕτως ἄρα καὶ τῶν νόσῳ τρυχομένων ὁπόσοι ἐς οὐρανὸν χεῖρας αἴρουσιν, ἔνιοι μὲν αὐτῶν ἀκραιφνῶς καὶ διαῤῥήδην τοῦ θεοῦ θαυματουργήσαντος, τὸ δεινὸν ἀπεσείσαντο· οἱ δὲ πλείους ταῖς εὐχαῖς καρποφορούσαις τὸν ἄριστον

primum & principale ejus opus, quidcumque coneris, prius ad Deum confugere, & retecta humiliter imbecillitate propria, ab illo petere auxilium. * *Effundam in conspectu ejus orationem meam.* Ac rursum, ** *Effundite coram illo corda vestra. Manifesta teipsum sæpe Deo*, inquit magnus Basilius. Aderit utique petenti supernum auxilium, & dissipata nube circumfusa rebus, clarum reddet latentem alioqui interiorem adspectum, manuducetque ad utilium electionem, & annuet calidis precibus, neque opitulari desinet usque ad finem, modo aperte ostendens vim suam, & dissolvens omnem difficultatem modis prope miraculosis: modo insensibiliter, per naturales causas & media naturalia * Ps. 141, 3.
permeans, ut & primitivum rerum ordinem non invertat, & nostrum ** Ps. 61, 9.
exploret affectum. Sic nimirum etiam ex ægrotantibus quicumque in cœlum attollunt manus, aliqui, Deo aperte & palam miraculum peragente, malum depulere; plerique autem precibus fructificantibus, præstantissimum accersi-

τῶν ἰατρῶν εἰσεκαλέσαντο, ἐξαισίοις ἰάμασιν ἐχρήσαντο, τῶν παρεστηκότων κηδεμονικώτερον περὶ αὐτοὺς διακειμένων, ἧττον ἐκακοπάθησαν, καὶ θᾶττον ἀνέσφηλαν. κρηπὶς ἄρα φρονήσεως τὸ ὁμιλεῖν θεῷ
ψαλ. ριή. ὡς δεῖ, καὶ αἰτεῖσθαι τὰ προσήκοντα. ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι "
αἱ ὁδοί σου ἀλήθεια.

Ἐπειδὴ δὲ πᾶν τὸ φανερούμενον φῶς ἐστι, καὶ ὁ ἐν ἡμῖν ὀρθὸς
λδ. λόγος οἱονεὶ φῶς ἐπικέχυται τῷ νοῒ παρὰ θεοῦ. ἐν τῷ φωτί σου ὀψό- "
μεθα φῶς. ἐν ἐκείνῳ διαθρεῖν ὀφείλομεν, καὶ ἐμβριθῶς ἀνερευνᾷν τοὺς περὶ τῶν πραγμάτων λόγους, τὸ ἐγγὺς καὶ τὸ πόῤῥω στήσαντες ἐν τῷ ζυγῷ, τῇ τε πλάστιγγι τοῦ νοὸς ταλαντεύοντες τοὺς ἑκατέρωθεν φοιτῶντας λογισμοὺς, τούς τε εἰς αἵρεσιν ὀτρύνοντας, καὶ συμφέρειν ἡμῖν ὑπισχνουμένους τὴν ἐγχείρησιν, καὶ τοὺς τὰ κωλύοντα καὶ βλάπτοντα μονονουχὶ δακτύλῳ δεικνῦντας. παρατηρητέον δὲ ἐφ' ὃ μέρος ἡ καρδία ῥέπει, ὑπό τινος ἴσως σκαιοῦ πάθους (ὡς εἴωθε συμβαίνειν ὡς ταπολλὰ) ταραττομένη, καὶ τότε βοηθητέον θατέρῳ μέρει τοῖς ἀπὸ τοῦ ὀρθοῦ λόγου χρωμένους ἐρύμασιν, ὅπως ἀδέκαστον
ψαλ. ϟς'. σχῶμεν φέρειν τὴν περὶ τοῦ προκειμένου ψῆφον. φῶς ἀνέτειλε τῷ δικαίῳ. "

vere medicum, remediis usi fuere prosperis, diligentiore assistentium cura, minus perpessi, citius convaluere. Fundamentum itaque prudentiæ est, Deum consulere ut decet, ab
Ps. 118, 151. eoque petere necessaria. *Prope es tu Domine, & omnes viæ tuæ veritas.*

Quoniam autem omnis claritas lux est, rectaque in nobis ratio quasi lux infusa est menti nostræ divinitus,
Ps. 35, 10. *In lumine tuo videbimus lumen*; in illo dispicere debemus & graviter perscrutari rationes rerum, propinquum & longinquum ponderantes,
* Ps. 96, 11. trutinaque mentis librantes ratiocinia utrimque provenientia, cum ea quæ ad capessendum negotium hortantur ac profuturum nobis conatum pollicentur; tum ea quæ impedimenta quædam atque incommoda quasi indice digito demonstrant. Observandum autem in quam partem cor vergat, forsitan ab aliquo affectu pravo (ut accidere solet plerumque) perturbatum, atque tum subveniendum alteri parti, rectæ rationis adhibito præsidio, ut incorrupto calculo decernere de re proposita valeamus. * *Lux orta est justo*

τὰ δὲ

τὰ δὲ ἔργα τοῦ φρονίμου, παντοδαπά εἰσι καὶ πολυειδῆ, καὶ μυρία ἄτ]α ἐπιβάλλει αὐτῷ ἀσχολουμένῳ περί τε ἑαυτὸν καὶ τὸ ὁμόφυλον. καὶ καθ' ἑαυτὸν μὲν, μόριόν τι τοῦ χρόνου τῇ ἐπικ]ήσει τῶν ἐπιστημῶν ἐπιμετρήσει, πολιτευόμενος μέντοιγε, οὐ λυμανεῖται τὰ κοινὰ, οὔτε τὰς ὀφειλομένας τῇ διοικήσει ὥρας δαπανήσει ἀναγνώσεσι καὶ θεωρίαις, ἀκράτῳ φιλομαθείας ἔρωτι προδιδοὺς τὸ καθῆκον. ὁ γὰρ ἐκκλ. κεφ. ἀ.
„ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. οὐκ ἀποκνήσει μέντοιγε τὰς ἱστορίας ἀνελίτ]ειν, αἳ κάτοπ]ρόν εἰσι τοῦ ἀνθρωπίνου βίου, καὶ τῶν
„ πρακ]έων διδάσκαλοι. ἡμέρα τε τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ ψαλ. ιή.
„ νυκτὶ ἀναγγέλλει γνῶσιν. περιέργως τοίνυν ἐπελεύσεται ἐν αὐταῖς τοὺς πολυειδεῖς χαρακτῆρας τῶν ἐπισήμων ἀνδρῶν, μετὰ πολλῆς τε συνέσεως παρατηρῶν τὰς ἀρχὰς, τὰς προόδους, τὰς ἀποβάσεις τῶν ἐγχειρημάτων, διευκρινήσει τὰ προηγούμενα, τὰ ἑπόμενα, τὰ προτερήματα, τὰ ἐλατ]ώματα, τὰ ὑγιαίνοντα, τὰ σαθρὰ, ἐπί τε προσώποις καὶ πράγμασι συγκρίνων τὰ παρεληλυθότα τοῖς παροῦσι,
„ καὶ τὰ μέλλοντα ὥς γε ἐφικτὸν προορώμενος. διδάξει γὰρ αὐτὸν Σολ. σοφ. κεφ. ζ.
„ ἡ σοφία ἀρχὴν, καὶ τέλος, καὶ μεσότητα χρόνων. καὶ, πάντα παροι. κεφ. ή.

Opera autem prudentis multiplicia ſunt & varia, officiaque plurima ad eum pertinentia, dum vel circa ſeipſum occupatus eſt, vel circa ſocietatem. Ac pro ſeipſo quidem partem aliquam temporis impendet ſcientiarum acquiſitioni; Remp. tamen adminiſtrans, eam non labefactabit, neque debitas adminiſtrationi horas abſumet in lectionibus & ſpeculationibus, immoderata diſcendi cupiditate officium deſerens. * *Qui enim addit ſcientiam, addit & laborem.* Nec tamen pigrabitur hiſtorias evolvere, quæ ſunt ſpeculum vitæ humanæ, & faciendorum magiſtræ. *Diesque diei eructat verbum, & nox nocti indicat ſcientiam.* Pſ. 18, 3.
Diligenter itaque perleget varios illuſtrium hominum characteres: magnoque cum intellectu obſervans, progreſſus & eventus conatuum, diſcernet ac diſcutiet præcedentia, conſequentia, perfectiones, defect9, ſana, vitioſa, cum in perſonis tum in rebus contendens & componens præterita præſentibus, futuraque, quoad licet, proſpiciens. Docebit enim eum ſapientia *initium, & conſummationem, & medietatem temporum.* Atque, *Omnia ſunt in conſpectu*

* Eccleſiaſtici, 1, 8.
Sap. 7, 18.
Prov. 8, 9.

ἐνώπια

ἐνώπια τοῖς συνιῦσιν. ἔξεστι γὰρ τῷ φρονίμῳ ταυτηνὶ τὴν ἀνεπίμω- "
ψαλ. ρμβ. μον ἀσκεῖν μαντικήν. ἐμνήσθην ἡμερῶν ἀρχαίων, φησὶν ὁ Δαβίδ. ἐκ "
γὰρ τῆς μνήμης τῶν παρεληλυθότων, περὶ τῶν παρόντων παιδευό-
Σειρ. κεφ. η. μεθα. καὶ ὁ σοφὸς Σειρὰχ, μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν "
ταῖς παροιμίαις αὐτῶν ἀναστρέφȣ, ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν, "
καὶ λειτȣργῆσαι μεγιστᾶσι. διατηρήσει ὁ ἔμφρων σιωπῇ καὶ λόγῳ, "
παροι. κεφ. ιη. λαλήσει δὲ ὁπόσα ἀληθῆ. θάνατος γὰρ καὶ ζωὴ ἐν χειρὶ γλώσσης. "
ἐπαγρυπνῶν δὲ διατελέσει ἑαυτῷ τε καὶ τοῖς ἄλλοις, κοιμώμενός τε
Σολ. σοφ. κεφ. ζ. γρηγορήσει· ἀκοίμητον γὰρ τὸ ἐκ τῆς σοφίας φέγγος. Ταπεινοφρο- "
σύνην ἀσκήσει ὑποχωρῶν, ὑπεξιστάμενος, περὶ ἑαυτȣ̃ ὑπέρογκα μή τε
φρονῶν, μή τε λέγων· ἀλλ' αὖ ἐν καιρῷ ἐλέγξει, περιφρονήσει,
ἀπειλήσει, μόναι γὰρ αἱ ἀπειλαὶ πολλάκις πολλὰ κατορθȣ̃σι.
παροι. κεφ. ιζ. κεφ. ι. συντρίβει γὰρ ἀπειλὴ καρδίαν φρονίμȣ. καὶ, ὁ ἐλέγχων μετὰ παῤ- "
ῥησίας εἰρηνοποιεῖ. καὶ πάλιν ὁπότε δεήσοι, φίλτροις καὶ ἐπῳδαῖς "
διακηλήσει καὶ καταθέλξει, καὶ ὅλως ἑαυτȣ̃ ἀναρτήσει τȣ̀ς πελά-
ζοντας, ἑλκύσει δὲ καὶ τȣ̀ς πόῤῥω μαγνήτιδος δίκην, ταῖς τ' εὐ-
ποιΐαις οἷα χρυσαῖς τισιν ἁλύσεσι δεσμȣμένȣς ὅπῃ βȣλητὸν ἀπάξει.

intelligentibus. Licitum eſt enim prudenti inculpatam hancce exercere
Pſ. 142, 5. divinationem. *Memor fui dierum antiquorum,* inquit David. Ex memoria enim præteritorum de præſentibus inſtruimur. Et ſapiens ille
Eccleſiaſtici 8, 9. Sirach, *Ne deſpicias narrationem ſapientium, & in proverbiis eorum converſare: ab ipſis enim diſces doctrinam, & ſervire magnatibus.* Utetur prudens ſilentio & ſermone, loquetur autem quæ vera ſunt.
Prov. 8, 9. *Mors enim & vita in manu linguæ.* Invigilabit autem & ſibi ipſi & aliis,
Sap. 7, 10. dormiensque vigilabit. *Inextinguibile enim ſapientiæ lumen.* Humilitatem exercebit, decedens, recedens, de ſeipſo magnifice non ſentiens, neque loquens; ſed occaſione ita ferente arguet, inquiret, minabitur; minæ namque vel ſolæ multum efficiunt, * *Conterit enim comminatio cor prudentis,* &, ** *Arguens libere pacem facit.* Ac rurſum, ubi opus, amoris illecebris ac blanditiis mulcebit & deliniet, omninoque ſibi devinciet clientes; ſed & remotiores, inſtar magnetis, attrahet, beneficiiſque veluti catenis aureis vinctos, quo libitum fuerit

* Prov. 17, 10.
** cap. 10, 10.

„ νίκην γὰρ καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δοὺς, καὶ τὴν ψυχὴν ἀφαι- παρμ. κεφ. κβ'.
„ ρεῖται τῶν κεκτημένων. οὐκ ἐκχυθήσεται μέντοιγε, οὐδ᾽ ἔσται δαπανη-
τικὸς παρὰ τὸ καθῆκον οὔτε ἑαυτοῦ, οὔτε τῶν ὄντων. ἀνεπιφθόνως
„ ἐνίοτε ἑαυτὸν ἐπαινέσει. Φήμη γὰρ ἀγαθὴ πιαίνει ὀστᾶ. καὶ, Φρόν- κεφ. ιϛ'.
„ τισον, φησι, περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμένει. ἵνα δὲ μὴ τὸν Σειρ. κεφ. μα'.
ἀδελφὸν σκανδαλίσῃ, δεξιῶς ἐπηλυγάσει, καὶ τὰς ἐπιπολαζούσας
ἀμορφίας, εἴτε φύσεως, εἴτε πάθεσιν ὑποσυρομένης προαιρέσεως εἶεν
„ γοναί. ὁ γὰρ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν, κρύπτει δὲ τὴν παρμ. κεφ. ιγ'.
„ ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος. ἄλλοτε δ᾽ αὖ οὕτω δεῆσαν, ὁμολογήσει κεφ. ιβ'.
τὰ ἐπταισμένα, ταύτῃ τε μνηστεύσεται ἑαυτῷ καὶ τῷ ὁμοφύλῳ
„ σωτηρίαν. ἀποθνήσκει γὰρ ἄφρων ἐν ἁμαρτίαις. καὶ, ὁ μὴ ἰώμενος κεφ. κδ'.
„ ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν. καὶ κεφ. ιη'.
„ πρόσεχε, φησι, σεαυτῷ, μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου δευτερ. κεφ. ιε'.
ἀνόμημα. φεύξεται μὲν τὰς ὑποψίας, ἀλλὰ τῆς τε ἰδίας, καὶ τῆς
τοῦ κοινοῦ ἀσφαλείας προνοούμενος. ἐπὶ θήρᾳ τοῦ ἀληθοῦς βασανίσει
τὰς ὑπονοίας, μηδαμῶς μέντοιγε αὐταῖς ξυγχωρήσει ἐκ τοῦ ἀπερρω-
γότος εἰς ἐνέργειαν προελθεῖν. χαλινὸν μὲν ἐπιθήσει τοῖς πάθεσιν,

abducet. * *Victoriam enim & honorem acquirit, qui dat munera: & animam aufert accipientium.* Non erit tamen profusus neque prodigus præter necessitatem, nec sui ipsius, nec facultatum. Sine invidia quandoque seipsum laudabit, ** *Fama enim bona impinguat ossa*: atque etiam * *Curam habeto*, inquit, *de bono nomine: hoc enim permanebit tibi.* Quo minus autem socium offendat, dextre obumbrabit etiam inhærentes deformitates, sive illæ a natura sive a voluntate affectibus abrepta provenerint. ** *Fatuus enim aperit vitium suum; vir autem callidus dissimulat ignominiam suam.* Alias vero, re ita ferente, fatebitur erratum, atque hac ratione conciliabit sibi & sociis salutem. *Moritur enim fatuus in peccatis.* Item, *Qui non sanat se ipsum in operibus suis, affinis est lædenti seipsum.* Et, *Cave*, inquit, *ne verbum occultum in corde tuo fiat iniquitas.* Vitabit suspiciones, sed cum propriæ tum publicæ securitati prospiciens. Veritatis explorandæ causa examinabit opiniones, nec tamen patietur eas ex abrupto ad effectum procedere. Frenum imponet affectibus, verum ad actus necessarios

* Prov. 22, 9.
cap. 24, 9.
cap. 18, 9.
** cap. 16, 2.
* Ecclesiastici 41, 15.
** Prov. 13, 16.

ἀλλ᾽ ἐπὶ ἐνεργείᾳ τῶν δεόντων χρήσεται αὐτοῖς ὑπουργοῖς καὶ κέντροις. ὀργισθήσεται ἄρα, ἀλλ᾽ οὐχ ἁμαρτήσει. λυπηθήσεται, ἀλλὰ καὶ ἐν τῇ λύπῃ πλατυνθήσεται, τὸ εὔπνουν καὶ εὐδιαφόρητον ἐξασκῶν. καὶ πλατυνόμενος ὅμως, εἰς ἀλαζονείαν μηδαμῶς ἀποκλινεῖ, οὐδὲ
Δευτ. κεφ. ιά. λατρεύσει τοῖς τῶν παθῶν εἰδώλοις. πρόσεχε γάρ, φησι, σεαυτῷ «
Παροι. κεφ. ιδ. μὴ πλατυνθῇ ἡ καρδία σου. φοβηθήσεται μέν, σοφὸς γὰρ φοβη- «
θεὶς ἐξέκλινεν ἀπὸ κακοῦ· ἀλλ᾽ οὐκ εἰς ἀπόνοιαν ἐκπεσεῖται. καὶ τὰ μὲν ἑαυτοῦ πάθη σφαδάζοντα, ἐν κημῷ καὶ χαλινῷ οὕτω πως ἄγχων τιθασσεύσει· τὰ δὲ τῶν ἄλλων, ἐπὶ σωτηρίᾳ ἑαυτοῦ καὶ τοῦ ὁμο-
Σειρ. κεφ. δ. φύλου διεγερεῖ καὶ ἀναρριπίσει. καρδίαν δὲ παρωργισμένην οὐ προ- «
Παροι. κεφ. ι. σταράξει. ἁπλότητα τιμήσει. ὃς γὰρ πορεύεται ἁπλῶς, πορεύεται «
κεφ. ιά. πεποιθώς, ψυχή τε εὐλογουμένη πᾶσα ἁπλῆ. ἀλλ᾽ ἐνίοτε σιωπῶν «
καὶ κρύπτων τὰ ὄντα, ἑαυτόν τε καὶ τοὺς περὶ αὐτὸν διατηρήσει.
κεφ. ιδ. χείλη γὰρ σοφῶν δέδεται αἰσθήσει. καὶ ὃς φυλάσσει τὸ ἑαυτοῦ «
κεφ. ιγ. στόμα, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν. ἐνίοτε δὲ καὶ μωρίας προσωπεῖον «
ὁ ξυνετὸς ὑποδύσεται κατὰ τὸν θεῖον Δαβίδ, καὶ οἰκουρήσει, καὶ νοσηλεύσεται. αἱ γὰρ ἐς ἄκρον εὐεξίαι σφαλεραί. τῇ μὲν ἀστειότητι

bonosque utetur iis ministris & sti-
*Ecclesiastici 4, 3. mulis. Irascetur itaque, sed non pec-
cabit. Contristabitur, sed etiam in
** Prov. 10, 9. tristitia diffundetur, facile respirare
* cap. 11, 25. & digerere studens. Et quamvis diffundatur, ad insolentiam tamen non deflectet, neque serviet affe-
Deut. 11, 16. ctuum idolis. *Cave enim*, inquit,
** Prov. 16, 7. *ne dilatetur cor tuum.* Timebit qui-
cap. 14, 16. dem, *Sapiens enim timet, & decli-*
† cap. 12, 3. *nat a malo*; non tamen in despera-
tionem prolabetur. Atque proprios quidem affectus tumultuantes capistro & freno ad hunc fere modum constringens domabit; sed affectus aliorum ad suam & sociorum salutem excitabit & inflammabit. * *Cor* tamen *irritatum non amplius turbabit.* Simplicitatem honorabit, ** *Qui enim ambulat simpliciter, ambulat confidenter: * Animaque benedicta omnis simplex*; verum tamen aliquando tacitus rem ipsam celans, cum seipsum, tum suos conservabit. ** *Labia enim sapientium ligantur sensu.* Et, † *Qui custodit os suum, custodit animam suam.* Aliquando autem etiam stultitiæ personam sapiens induet, ut divus David, domique se continebit & ægrotabit; summa enim sanitas periculosa. Urbanitate quidem utetur ut sale,

ὡς ἅλατι

„ ὡς ἅλατι χρήσεται, τὸ σκυθρωπὸν καὶ συγνὸν ἀποκλίνων. καρδίας παρ. κεφ. ιε.
„ γὰρ εὐφραινομένης, πρόσωπον θάλλει: νυττόντων δὲ λόγων ἀφέξεται
„ τῶν σπαραττόντων τὴν τȣ̃ πλησίον τιμήν. εἰσὶ γὰρ οἱ λέγοντες, κεφ. ιβ.
„ τετρώσκȣσιν μάχαιραι. καὶ, μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν. κεφ. ια.
μετ' εὐσαθείας εὐκαιρίαν προσδοκήσει, ἀλλ' ἐνίοτε ἀγχινοίας περιȣσίᾳ αὐτὸς ἑαυτῷ θηρεύσει καὶ περιποιήσεται τὴν εὐκαιρίαν. σήσεται ἑδραῖος καὶ σεῤῥός· τῶν δὲ πραγμάτων μεταβαλλομένων, τὸν ἔμφρονα μιμήσεται κυβερνήτην, τά τε ἱσία συνάξει, καὶ τὸ πηδάλιον
„ περισρέψει. καὶ ὁ θεῖος Παῦλος συμβȣλεύει χαίρειν μετὰ χαιρόντων, ῥωμ. κεφ. ιβ.
„ καὶ κλαίειν μετὰ κλαιόντων. τῶν καιρίων ἀρετῶν ἀνθέξεται, διὰ
„ τῆς λεωφόρȣ βαδίσει, καὶ πᾶν σκολιὸν ὡς ὄφιν ἀποδράσει. ἅγιον σοφ. κεφ. ε.
„ γὰρ πνεῦμα παιδείας φεύξεται δόλον. ὁ δὲ βλέπων λεῖα ἐλεηθή- παροι. κεφ. ιβ.
„ σεται. καὶ, βδέλυγμα Κυρίῳ διεσραμμέναι ὁδοὶ, ȣ̓δ' ἐπιτεύξεται κεφ. ια.
„ δόλιος θήρας. ἔσι γὰρ ὁδὸς, ἣ δοκεῖ παρ' ἀνθρώποις εἶναι ὀρθὴ, κεφ. ιβ.
„ τὰ δὲ τελευταῖα αὐτῆς βλέπει εἰς πυθμένα ᾅδȣ. τὴν μὲν ψυχὴν κεφ. ιϛ.
καλλιεργήσει, ἀλλ' ȣ̓δὲ τȣ̃ σώματος ἀμελήσει, ὅπως ζῶν καὶ ὑγιὴς ὑμνοίη τὸν Κύριον. τȣ̀ς φίλȣς τιμήσει, φείσεται τῶν ἐχθρῶν, ἀλλὰ

tristem severitatem vitans, * *Corde enim lætante floret facies*; a pungentibus autem sermonibus, honorem socii lacerantibus, abstinebit. ** *Sunt enim qui sermone sauciant gladii*, &, * *Subsannat cives cordis egens.* Constanter opportunitatem expectabit; sed quandoque sagacitatis abundantia, ipse captabit sibique parabit occasionem. Stabit firmus & stabilis, cum vero res mutantur, imitabitur prudentem gubernatorem, velaque contrahet, & gubernaculum intorquebit. Et divus Paulus suadet ** *Gaudere cum gaudentibus, & flere cum flentibus.* Opportunas

amplectetur virtutes, per viam re- *Prov. 15, 13.
giam incedet, & omne perplexum
ut serpentem fugiet. *Spiritus enim*
sanctus disciplinæ effugiet dolum. Qui Sap. 1, 5.
autem lævia spectat, misericordiam Prov. 12, 13.
consequetur. Et, *Abominabiles Do-* **Prov. 12, 18.
mino viæ pravæ, Neque inveniet *cap. 11, 12.
fraudulentus lucrum. Est enim via cap. 11, 20.
quæ videtur homini recta: sed no- cap. 12, 27.
vissima ejus ducunt ad mortem. cap. 16, 25.
Animum quidem excolet ac ornabit; sed nec corpus negliget, ut vivus & sanus celebret Dominum.
Amicos in honore & pretio habe- **Rom. 12, 15.
bit; parcet inimicis, sed ab his,

καὶ

παρ. κεφ. κδ'. καὶ ἀπ' αὐτῶν ὠφεληθήσεται. οἶκȣ καλῶς προςήσεται. μετὰ γὰρ "
σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθȣ̃ται. τὰ κοινὰ "
κεφ. ιε'. ἐπαινετῶς διοικήσει. ὁ γὰρ ἄφρων ȣ̓ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν "
τῷ κοινῷ. προθύμως, καὶ συνετῶς, καὶ ἀκεραίως ὑπηρετήσει τῷ
κεφ. ιγ'. ἄρχοντι. οἰκέτῃ γὰρ σοφῷ εὔοδοι ἔσονται πράξεις. πρᾳότητι "
ψαλ. κδ'. δὲ καὶ ἱλαρᾷ σοβαρότητι ὁμιλήσει καὶ τῷ ὑπηκόῳ. ῥυόμενος πτωχὸν "
ἐκ χειρὸς στερεωτέρων. κρίνων, χεῖρας καθαρὰς φυλάξει, καὶ τῷ "
παρ. κεφ. ι. αὐστηρῷ τῶν νόμων τὸ ἐπιεικὲς συγκεράσει. χείλη γὰρ ἀνδρῶν "
δικαίων ἀποστάζει χάριτας. ȣ̓ δὲ γὰρ ἀπαναίνεται ἡ δικαιοσύνη τὸν "
οἶκτον. ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ πολλὰ καρποφορήσει, καὶ ἐν μέσῳ
θορύβων, ἐπί τε ψυχῇ καὶ προσώπῳ πολλὴν ἐπιδείξεται γαλήνην.
κεφ. ιζ. πρόσωπον γὰρ συνετὸν ἀνδρὸς σοφȣ̃. σπεύδων βραδέως, ἐνεργῶν "
ψαλ. ξζ. ἀνεπαισθήτως, πολλὰ κατορθώσει. εἰρήνην μὲν ἀσπάσεται· διασκόρ- "
πισον γὰρ ἔθνη, φησὶ, τὰ τȣ̀ς πολέμȣς θέλοντα· ἀλλ' ἐπὶ περι- "
ποιήσει ἀσφαλȣ̃ς εἰρήνης πολεμήσει. ȣ̓δ' ἀγαπήσει μόνῃ τῇ κατ'
ἐχθρῶν νίκῃ, ἀλλ' ἐκείνοις μὲν ἡττηθεῖσι συγγινώσκων, ἑαυτὸν δὲ
καταστέλλων, τριπλȣ̃ν ἀρεῖται τρόπαιον. τῆς τε φυλακῆς, καὶ τῆς

etiam utilitatem capiet. Familiæ
Prov. 23, 3. ſuæ bene præerit. *Sapientia enim ædificatur domus, & prudentia roboratur.* Publica laudabiliter ad-
* cap. 16, 24. miniſtrabit, *Fatuus enim non lo-*
cap. 15, *quetur opportunum quidquam & bonum in publico.* Prompte, ſapienter, ſincere ac fideliter ſerviet prin-
cap. 13, 13. cipi. *Servo enim ſapienti bene ſuc-*
** Pſ. 67, 32. *cedent actiones.* Clementia & hilari quadam ſeveritate utetur erga ſub-
Pſ. 34, 10. jectos, *Eripiens inopem de manu fortiorum.* Jus dicens, manus puras ſervabit, atque ſeveritatem legum
Prov. 10, 32. temperabit æquitate. *Labia enim virorum juſtorum deſtillant gratias.* Neque enim recuſat juſtitia miſerationem. In quiete & otio multa fructificabit, & in medio tumultu tam animo quam vultu præ ſe feret tranquillitatem. * *In facie enim prudentis lucet ſapientia.* Feſtinans lente, agens inſenſibiliter, multa bene expediet. Pacem quidem amplectetur, ** *Diſſipa enim, inquit, gentes quæ bella volunt;* ſed acquirendæ ſecuræ pacis ergo bellum geret: neque contentus erit ſola adverſus hoſtes victoria, verum illis quidem ignoſcendo, ſeipſum autem continendo, triplex eriget trophæum. Cuſtodire & rationi con-

μετὰ

" μετὰ λόγου τῶν ὑπαρχόντων αὐξήσεως οὐκ ἀμελήσει. λύτρον γὰρ παρμ. κεφ. ιγ'.
" ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος. καὶ, ὕπαρξις πλουσίου ἀνδρὸς πόλις κεφ. ιη'.
" ὀχυρά. καὶ, πλοῦτος προστίθησι φίλους πολλούς. ἀλλ' οὔτε παρόντι κεφ. ιθ'.
πλούτῳ προστακήσεται καὶ ξυμφυήσεται, οὔτε ἀποπτάντος
θρηνήσει. ἐν αὐλῇ διατρίβων κολακείας ἀφέξεται, ἀνδραποδῶδες
" γὰρ καὶ ἐπίπονον χρῆμα κολακεία. καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ ψαλ. θ'.
" κόπος καὶ πόνος. ἀλλ' ὅμως οὐκ ἀποτόμως συμβουλεύσει τῷ ἄρχοντι
τὰ προσήκοντα. ἐπιδαψιλευόμενος δὲ καὶ ἐπαινῶν αὐτὸν, φράσει
" τὰ δέοντα. ἀπόκρισις γὰρ ὑποπίπτουσα ἀποστρέφει θυμὸν, λόγος παροι. κεφ. ιε'.
" δὲ λυπηρὸς ἐγείρει ὀργάς. καὶ, οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν κεφ. ια'.
" ὥσπερ φύλλα.

venienter augere opus haud negliget, * *Redemptio enim animæ viri divitiæ suæ*, &, ** *Substantia divitis, urbs munita*, item, * *Divitiæ addunt amicos plurimos*; verum neque si adsint divitiæ, illis agglutinabitur & adhærebit, neque si avolaverint, lamentabitur. In aula degens, assentatione abstinebit; servilis enim & operosa ea est res adulatio: atque *Sub lingua ejus labor & dolor.* Attamen non præcise dabit consilium commodum principi; sed concedens, & eum laudans, indicabit necessaria. *Responsio enim se submittens avertit furorem: sermo autem molestus excitat iras.* Item, *Quibus non est gubernatio sui, illi cadant tamquam folia.*

Ps. 9, 27.
* Prov. 13, 8.
** cap. 18, 11.
* cap. 19, 4.
Prov. 15, 1.
cap. 11, 14.

ὅτι οἱ ἅγιοι ἄνδρες λόγοις τε, καὶ πράξεσιν
ἤσκουν τὴν φρόνησιν.

Κεφάλ. ιή.

Τῶν ἁγίων ἀνδρῶν ὁ βίος καὶ αἱ πράξεις, θεοσεβοῦς φρονήσεως, καὶ ζήλου μεστῆς συνέσεως, ἐπί τε τῇ ἑαυτῶν καὶ τῇ τοῦ ὁμοφύλου φυλακῇ, εἰκόνες εἰσὶ λαμπρόταται. βαθείας εἶχε ῥίζας ἐν τῇ καρδίᾳ τοῦ θεσπεσίου πατρὸς Ἀβραὰμ ἡ σοφία. διὰ παντὸς γὰρ αὐτῷ τοῦ βίου διηύγαζεν ὁ πρὸς θεὸν φόβος, ἡ πίστις, ἡ θεοσέβεια, ἡ εὐπείθεια, ἡ φιλοξενία, καὶ πᾶν εἶδος ἀρετῆς. θεοῦ κελεύοντος καταλιμπάνει τὴν γεννήσασαν. καὶ ἐπορεύθη Ἄβραμ καθάπερ
γένεσ. κεφ. ιβ. ἐλάλησεν αὐτῷ Κύριος. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἄβραμ θυσιαστήριον τῷ Κυρίῳ τῷ ὀφθέντι αὐτῷ. ὁ μὲν ᾠκοδόμει τῷ Κυρίῳ, ὁ δὲ ὕψιστος καὶ ἐξ ὑπογύου δαψιλεστάταις ἀντιδόσεσιν ὠχύρου το, καὶ ἐπλήθυνε τὸν οἶκον αὐτοῦ. ὁ μὲν ὅτου οὖν ἔργου ἀρχόμενος καὶ παυόμενος, ηὐλόγει τὸν εὐεργέτην, ὁ δὲ θεὸς ἀπλέτων εὐεργεσιῶν ἐπιῤῥοαῖς ἠμείβετο τὸν
κεφ. κά. πιστὸν θεράποντα. καὶ ἐφύτευσεν Ἀβραὰμ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου,

CAP. XIIX.

Sanctos Homines dictis & factis exercuisse Prudentiam.

SAnctorum virorum vitæ & acta, religiosæ prudentiæ, zelique plenæ ſapientiæ, in conſervandis cum ſeipſis tum ſociis, imagines ſunt clariſſimæ. Altas egerat radices in corde ſanctiſſimi Abraham ſapientia. Per omnem enim vitam in eo eluxit timor erga Deum, fides, religio, obedientia, hoſpitalitas, & omne genus virtutis. Deo jubente
Gen. 12, 4. 7. reliquit patriam. *Et egreſſus eſt Abram, ſicut præceperat ei Dominus. Et ædificavit ibi Abram altare Domino qui apparuerat ei.* Atque ille quidem ædificabat Domino, Altiſſimus autem mox largiſſimis remunerationibus muniebat & multiplicabat domum ejus. Ille quidem in cujusvis operis initio & fine benedicebat benefactori, Deus autem immenſo beneficiorum affluxu remunerabatur fidelem ſervum.
* cap. 21, 33. * *Et plantavit Abraham agrum apud puteum jura-*

„ τȣ͂ ὄρκȣ, καὶ ἐπεκαλέσατο ἐκεῖ τὸ ὄνομα Κυρίȣ, Θεὸς αἰώνιος. καὶ γένεσ. κεφ. ιε.
„ ἐπίςευσεν Ἄβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἤδη
„ τε τῇ ἡλικίᾳ προβεβηκὼς, νεύσαντος τȣ͂ Θεȣ͂, πανοικεὶ περιτέμνεται. κεφ. ιζ.
καὶ μὴ διερευνώμενος τὰ παρὰ τȣ͂ Θεȣ͂ προςαττόμενα, ȣ̓́τε τȣ͂
„ ἀγαπητȣ͂ ὑȣ͂ φείδεται, ἀλλ᾽ ἀφίησι τὸ πολυτελὲς ἐκεῖνο ῥῆμα. εἶπε κεφ. κβ.
„ δὲ Ἀβραὰμ, ὁ Θεὸς ὄψεται. χρῆται δὲ πρὸς Θεὸν ἐν δέοντι καὶ παῤῥησίᾳ, εἰδὼς ἕτοιμον εἶναι τὸν δεσπότην εἰς φιλανθρωπίαν. ἐντυγχάνει ἄρα ὑπὲρ τῶν Σοδομιτῶν ὅσον ȣ̓́πω μελλόντων πυρὶ καταδαπανηθῆναι, καὶ ἄρδην καταςραφῆναι, ἅ τε πρὸς Θεὸν βοώσης τῆς τῇ φύσει μαχομένης, καὶ ἐς ἄκρον ἐληλακυίας ἀνοσιότητος αὐτῶν. ἀλλὰ καὶ ἐν τῇ παῤῥησίᾳ ὁ θεῖος ἀνὴρ συςέλλεται, καὶ
„ κιρνᾷ τῇ ταπεινώσει τȣ̀ς λόγȣς. ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. καίτοι κεφ. ιη.
τȣ͂ Θεȣ͂ ἐπιδαψιλευομένȣ, καὶ ταῖς ἐρωτήσεσιν ἀποκρινομένȣ. ȣ̓ μόνον δ᾽ ἐνταῦθα τύπον δίδωσι παῤῥησίας αἰδοῖ συγκράτȣ πρὸς τὸ ὑπερα-
„ νεςηκὸς, ἀλλὰ καὶ τῷ λαῷ τῆς γῆς ἀναςὰς προσεκύνησε, καίτοι κεφ. κγ.
ὁσημέραι θείας ὁμιλίας ἀξιȣ́μενος. ἰσχυρὸν γὰρ τὸ πλῆθος εἴς τε εὔνοιαν καὶ ἀπέχθειαν, οἵ τε νȣ͂ν ἔχοντες ȣ̓ διαλείπȣσιν αὐτὸ φιλο-

menti: & invocavit ibi nomen Domini: Deus æternus. * Et *credidit Abram Deo, & reputatum est illi ad justitiam.* Jamque ætate provectus, ad nutum Dei cum tota domo circumciditur. Atque haud perscrutans quid Deus imperet, nec unico parcit filio, sed emittit pretiosum illud verbum, ** *Dixit autem Abraham, Deus providebit.* Utitur vero ubi opus erga Deum etiam libertate, gnarus, quam paratus sit Dominus ad clementiam. Intercedit igitur pro Sodomitis jamjam igne consumendis & funditus evertendis, utpote in cœlum clamante scelere illorum, naturæ adverso, & ad summum evecto. Sed in hac etiam libertate vir sanctissimus sese cohibet, temperatque sermones humiliatione, *Ego autem sum terra & cinis;* quamvis Deo indulgente & ad interrogationes respondente. Non autem hic tantum præbet signum libertatis veneratione temperatæ erga eminentiam; verum etiam *Surrexit & adoravit populum terræ;* etsi quotidiano colloquio Deus eum dignaretur. Multum enim valet multitudo & ad benevolentiam & ad simultatem: quive sapiunt, haud

* Gen. 15, 6.
cap. 18, 28.
** Gen. 22, 8.
cap. 23, 7.

φρονȣ͂-

φρονούμενοί τε καὶ δυσωπούμενοι. Φροντίζει δὲ καὶ ἑαυτοῦ, καὶ τῆς γυναικὸς, καὶ τῆς κατ' οἶκον ἁρμονίας, καὶ τῶν συγγενῶν, περιουσίᾳ φρονήσεως. ἐπειδὴ γὰρ ἐλαυνόμενος ὑπὸ τοῦ λιμοῦ εἰς Ἄιγυπτον μετέβη, ἐν στενῷ κατειλημμένος, καὶ τῆς γυναικὸς τὴν ἀφαίρεσιν ἤδη πρὸ ὀμμάτων ἔχων, πολλῶν δεινῶν προκειμένων, αἱρεῖται τὸ ἔλαττον, καὶ ἵνα μὴ ἅμα τῇ γυναικὶ καὶ τὸ ζῆν ἀφαιρεθῇ, τὸ τῆς ἀδελφῆς ὄνομα προβάλλει ταύτῃ, τήν τε ἑαυτοῦ σωτηρίαν πραγματευόμενος, καὶ τὰ μείζονα ἀποκλίνων ὀνείδη, εἴγε ἑτέρῳ συνοικεῖν ἀνεχόμενος τὴν σύνευνον φανερὸς ἐγεγόνει. χωρίζεται δὲ τοῦ Λὼτ τῷ σώματι, ἀλλ' οὐ τῷ φίλτρῳ, ἵνα τὴν ἐγειρομένην τῶν δούλων ἀναῤῥιπιζόντων στάσιν κατευνάσῃ τῇ ἐπικαίρῳ διαστάσει. τὰ δὲ ὄντα ἀφαιρεθέντος, καὶ δουλείᾳ περιπεσόντος τοῦ ἀδελφιδοῦ, μέμνηται τῶν τῆς συγγενείας καθηκόντων, καὶ τὸ ἐνδομυχοῦν φίλτρον ἐπιδείκνυται, πολλῇ τε γενναιότητι κατὰ τῶν ἐχθρῶν ὁρμᾷ, καὶ νίκης λαμπρᾶς ἐγκρατὴς γίγνεται. συνεφάπτεται γὰρ ὁ Θεὸς καὶ περαίνει τὰ τῆς νίκης, καὶ ἐπικουρεῖ τοῖς ἐπὶ βοηθείᾳ συγγενῶν καὶ γειτόνων ἐν δέοντι πόλεμον αἱρουμένοις. ἀναλάμπει δὲ καὶ μετὰ τὴν νίκην ἡ τοῦ Ἀβραὰμ

intermittunt eam ſibi conciliare & flectere. Curam autem agit etiam ſui ipſius & uxoris, & domeſticæ concordiæ, & cognatorum, abundantia prudentiæ. Cum enim fame compulſus in Ægyptum migraſſet, ad anguſtias redactus, uxorisque ademptionem jam præ oculis habens, multis malis propoſitis, eligit minus, ac ne cum uxore vitam etiam amittat, ſororis nomen ei prætendit: cum ſalutem ſibi ipſi procurans, tum etiam majora devitans opprobria, ſi viſus fuiſſet pati ut conjux ſua alteri nuberet. Separatur autem a Lot corpore, at non animo & amoris affectu, ut orientem, ſervis inflammantibus, ſeditionem ſopiret diremptione opportuna. Bonis vero ſuis ſpoliato & in ſervitutem redacto fratris filio, memor eſt officiorum cognationis, atque oſtendit intimum amoris affectum, magnaque alacritate in hoſtes irruit, & victoria luculenta potitur. Adjuvat enim Deus, peragitque victoriam & opitulatur iis qui ad opem propinquis & vicinis ferendam opportune bellum ſuſcipiunt. Elucet vero etiam poſt victoriam prudentia Abraham;

φρόνησις.

φρόνησις, τῷ μὲν γὰρ ἱερεῖ τοῦ θεοῦ δίδωσι τὰς δεκάτας. καὶ αὐτὸς μὲν μεγαλοψυχίᾳ γνώμης οὐδὲν ἔλαβε τῶν σκύλων, τοῖς δὲ συστρατευομένοις, δικαιοσύνην τιμῶν, δίδωσι μερίδα. πόῤῥω γὰρ φρονήσεως τὸ εἰς ἀρετῆς ἀκρότητα καὶ τοὺς ἄλλους ἀναγκάζειν. καὶ τὰ μὲν τῆς δικαιοσύνης καθήκοντα πᾶσιν ἁπλῶς ἐπιβάλλει, τὰ δὲ τῆς ἐλευθεριότητος καὶ μεγαλοπρεπείας, μόνοις τοῖς ὑπερανεστηκόσιν ἀποκεκλήρωται. ἐκπληροῖ δὲ ἀκμὴν ξυνετῶς καὶ τὰ πρὸς τὴν γαμετὴν καθήκοντα, καὶ ζηλοτυπούσης ἀνέχεται. καὶ ἰδοὺ, φησιν, ἡ παιδίσκη " σου ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ. γενέσ. ιϛ'.

Οὐ μόνον δὲ ἐν ταῖς καιρίαις πράξεσι φροντίζει τοῦ καθήκοντος, ἀλλὰ καὶ ἐν ταῖς ἐλάττοσι λόγου, ἥκιστα ὀλιγωρεῖ τοῦ δέοντος. ὁ γὰρ τέλειος, ἐν παντὶ τέλειος, καὶ ἡ φρόνησις ἔν τε σμικρῷ καὶ ἐν μεγάλῳ εἴωθεν ἀναφαίνεσθαι. καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, " ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. κεφ. κά. ἡ γὰρ τοῦ νενομισμένου τύπου κατά τε οἶκον καὶ πολιτείαν φυλακὴ, εἰς εὔνοιαν ἅπαντας ἀναρτᾷ, μισεῖται δὲ καὶ ἐν τοῖς τοιούτοις τὸ ὀλίγωρον.

ſacerdoti namque Dei dat decimas. Atque ipſe quidem, magnitudine animi, nihil accepit de ſpoliis, ſed commilitonibus, juſtitiam colens, dat portionem. Multum enim abeſt a prudentia etiam alios ad ſummitatem virtutis adigere. Juſtitiæ quidem officia ſimpliciter omnibus competunt, verum officia liberalitatis & magnificentiæ ſolis eminentibus deputata ſunt. Explet præterea prudenter officia etiam erga uxorem, atque zelotypiam ejus tolerat, Et * *Ecce*, ait, *ancilla tua in manu tua eſt, utere ea ut libet.*

Sed non ſolum in majoris momenti negotiis obſervat officium, verum etiam in minoribus haudquaquam negligit facienda. Perfectus enim, in omni re eſt perfectus, & prudentia tam in parvis rebus quam in magnis ſolet apparere. *Fecitque Abraham grande convivium, quo die ablactatus fuit Iſaac filius ejus.* Gen. 21, 8. Receptæ enim formulæ tam domi quam in Rep. obſervatio, ad benevolentiam omnes accommodat; negligentia autem etiam in talibus odioſa eſt. * Gen. 16, 6.

Z Οὐ μόνον

Οὐ μόνον δὲ ζῶσαν ἐφίλει τὴν Σάῤῥαν, ἀλλὰ καὶ τεθνηκυῖαν ὡς
γενεσ. κεφ. κγ΄. γε εἰκὸς τελεῖ τὰ ὅσια. ἦλθε δὲ Ἀβραὰμ κόψασθαι Σάῤῥαν καὶ "
πενθῆσαι. καιρὸς γὰρ τοῦ γελάσαι, καὶ καιρὸς τοῦ κλαῦσαι. οὐ δὲ
ἀμαυροῖ τὸν τῆς ἀνδρείας χαρακτῆρα τὸ ἐν καιρῷ χεόμενον
δάκρυον.

Ἐπιμελεῖται δὲ καὶ κτίσεως μνημείου, καίτοι τῆς ἀμφιλαφοῦς ἀρετῆς ἀένναον μνήμην ὑπισχνουμένης· μᾶλλον γάρ πως τοῖς ὑποπίπτουσι τῇ αἰσθήσει εἰς ἀρετῆς μίμησιν εἴωθε διεγείρεσθαι τὸ ἀπόγονον. Φροντίζει δὲ καὶ τῶν τέκνων, τῷ γὰρ Ἰσαὰκ ἐμπεδοῖ τὸν οἶκον, τὴν ἀπὸ τῆς συγγενικῆς αὐτοῦ σειρᾶς Ῥεβέκκαν μεταπεμψάμενος, ἀλλὰ πρὸ τοῦ γάμου, εἰς ἐνάμιλλον ἀρετὴν ἀλείφει τὸν υἱόν, διδάξας ὁμιλεῖν θεῷ, καὶ τῆς ἐκεῖθεν ἐπιῤῥεούσης ἀπολαύειν ἐλλάμψεως. καὶ
κεφ. κδ΄. ἐξῆλθεν Ἰσαὰκ * ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸ δείλης. ὦ καλῆς "
ἀδολεσχίας, ἣ ψυχὴν ἐμπίπλησι θείας ἀμβροσίας, ἣ τρέφει τὸν νοῦν, ἣ μεθύειν παρασκευάζει τὸν οὕτως ἀδολεσχοῦντα οὐρανίῳ νέκταρι. μετέπειτα δὲ καὶ τῇ διανομῇ τῶν ὄντων προανακόπτων πᾶσαν φιλο-
κεφ. κε. νεικίας ὑπόθεσιν, προνοεῖται τῶν παίδων. ἔδωκε δὲ Ἀβραὰμ πάντα "

Nec vero vivam tantum diligebat Saram, sed mortuæ etiam ut
Gen. 23, 2. par est, justa solvit. *Venitque Abraham, ut plangeret Saram, & lugeret.* Tempus enim ridendi, & templus flendi. Neque obfuscat
* Gen. 24, 63. fortitudinis notam lacryma tempestive fusa.

Habet autem curam etiam struendi sepulcri, quamvis magna virtus æternam promittat memoriam; magis enim quodammodo iis rebus quæ sub sensum cadunt ad imitationem virtutis solet excitari
** cap. 25, 5. posteritas. Sollicitus vero est etiam de liberis. Isaaco enim stabilit domum, Rebecca ex linea cognationis accersita. Sed ante nuptias ad æmulam virtutem exercet filium, docens eum cum Deo commercium habere, lumineque inde manante frui. * *Et egressus fuerat Isaac ad meditandum in agro, inclinata jam meridie.* O pulchram meditationem! quæ implet divina ambrosia, quæ nutrit mentem, quæ inebriat sic meditantem cœlesti nectare. Postea vero etiam in distributione bonorum præcidens omnem contentionis causam, prospicit filiis. ** *Deditque Abraham*

τὰ ὑπάρ-

„ τὰ ὑπάρχοντα αὐτοῦ Ἰσαὰκ τῷ ὑῷ αὐτοῦ, καὶ τοῖς ὑοῖς τῶν παλλα-
„ κῶν αὐτοῦ ἔδωκεν Ἀβραὰμ δόματα. τῷ μὲν γὰρ ἐξ ἐπαγγελίας Ἰσαὰκ ἔδωκεν οὐ μόνον τὰ κυρίως ὑπάρχοντα, θεοσέβειαν, σοφίαν, καὶ πᾶσαν ἀκήρατον ἀρετὴν, τὸν θεῖον τῷ ὄντι κλῆρον, οὕτω τοῦ θεοῦ πρυτανεύοντος, ἀλλὰ καὶ ἅπασαν σχεδὸν τὴν ἄλλην οὐσίαν ἐδωρήσατο, τοῖς πρὸς τὸν ἔντιμον βίον ἀναγκαίοις παρηγορήσας τοὺς λοιποὺς τῶν ὑέων. οὕτω γὰρ ἀσφαλέστερον εἰς μακραίωνας διαμένουσιν οἱ μεγάλοι καὶ λαμπροὶ οἶκοι, ἐπὶ τῷ κρείττονι τῶν ἀπογόνων οἷον ἐπὶ κρηπῖδος ἱδρυμένοι. τοῦ δὲ κλήρου κατακερματιζομένου, ἴσως οὐ πάμπαν ἀνεπιμώμῳ δικαιοσύνης καὶ ἰσονομίας προσχήματι, οἴχονται διαρρυέντες.

Ἐπαίδευε δὲ καὶ τοὺς δούλους αὐτοῦ τῷ τε καθ' αὐτὸν ὑποδείγματι, καὶ ταῖς δεούσαις ὑποθήκαις. διὰ τοῦτο ὁ τὸν γάμον τῷ
„ Ἰσαὰκ μνηστευόμενος παῖς, θεοσεβεῖν μεμαθηκὼς, ἔλεγε, Κύριε ὁ γέν. κεφ. κδ.
„ θεὸς τοῦ κυρίου μου Ἀβραὰμ εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον. καὶ πάλιν μετὰ τὴν ἐπίτευξιν, εὐλογητὸς Κύριος τοῦ κυρίου μου. πάντα τε ἀπαραχαράκτως ἔπραττε καὶ ἔλεγεν ὡς αὐτῷ διετέτακτο, καὶ

cuncta quæ possederat, Isaac filio suo: filiis autem concubinarum largitus est munera. Filio quidem promissionis Isaac dedit, non solum principalia bona, pietatem erga Deum, sapientiam, omnemque virtutem intaminatam, vere divinam hæreditatem, Deo ita moderante, sed & reliquam substantiam prope omnem donavit; reliquos filios rebus vitæ honestæ necessariis solatus. Sic enim certius in multa secula durant magnæ & illustres familiæ, potiori filiorum tamquam fundamento innixæ; contra hæreditate diminuta dividendo, prætextu fortasse non prorsus inculpabili justitiæ & æquabilitatis, diffluunt & intereunt.

Instruebat autem etiam servos suos tum proprio exemplo, tum etiam necessariis præceptis. Itaque servus ille qui Isaaco nuptias conciliat, Deum colere doctus, dicebat, *Domine Deus domini mei Abraham, recto itinere duc me bodie.* Ac rursus post impetrationem, *Benedictus Dominus Deus Domini mei Abrahami:* omniaque fideliter sine depravatione agebat dicebatque, sicut ei ordinatum fuerat, & multus erat Gen. 23, 12. 27.

γενέσ. κεφ. κδʹ. πολὺς ἦν ἐπαινῶν τὸν ἑαυτοῦ δεσπότην, Κύριος λέγων ηὐλόγησε τὸν « Κύριόν μου σφόδρα, καὶ ὑψώθη. τοῦτο γὰρ πιστοῦ δούλου τὸ ἐξαίρειν « τὰ τοῦ Κυρίου αὐτοῦ. οὐκοῦν διὰ τοσαύτης θεοσεβείας καὶ φρονήσεως τὸν βίον διελθὼν, καὶ ἱλαρῶς παραπέμψας ὁ θεῖος πατὴρ, κατάλληλον ἐπιτίθεται τὴν κορωνίδα, οὐ νόσῳ τινὶ ἀκρασίας, ἢ ἄλλου τοῦ πάθους γονῇ τρυχωθεὶς, ἀλλὰ τῷ κατὰ φύσιν μαρασμῷ ἱλαρῶς κεφ. κε. ἀναλύσας ἐν λιπαρῷ γήρᾳ, καὶ σὺν θεῷ γενόμενος. καὶ ἐκλείπων « ἀπέθανεν Ἀβραὰμ ἐν γήρᾳ καλῷ, πρεσβύτης, καὶ πλήρης ἡμερῶν. « οὐ δὲ γὰρ τῷ μήκει τοῦ χρόνου, ἀλλὰ τῇ καταστάσει τῆς ζωῆς, καὶ τῷ μεγέθει τῆς ἀρετῆς τὰ τῆς ἡλικίας μετρεῖται.

Κληρονόμος δὲ, καὶ μιμητὴς ἦν τοῦ πατρὸς ὁ θεῖος ἡμῶν πατὴρ Ἰσαὰκ κατά τε τὰς ἄλλας ἀρετὰς, καὶ κατὰ τὴν φρόνησιν. ζῶντί τε τῷ πατρὶ μέχρι θανάτου ὑπήκοος γέγονε, καὶ βίου γαλήνην τοῦ θεοῦ χορηγοῦντος, ἐνετρύφα θεωρίᾳ. ἀλλὰ καὶ τοῦ πατρὸς εἰς θεὸν κεφ. κε. ἀναλύσαντος, λιπαρῶς ἤσκει πᾶν εἶδος ἀρετῆς. ἐδέετο δὲ Ἰσαὰκ « Κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. καὶ κατὰ « μίμησιν τοῦ πατρὸς τὸν ὑπονοούμενον ξυνετῶς ἀποκλίνων κίνδυνον, ταῖς

in laudando Domino ſuo, dicens: Gen. 24, 35. *Dominus benedixit Domino meo valde, magnificatusque eſt.* Hoc enim fidelis eſt ſervi, extollere res Domini ſui. Igitur cum in tanta pietate & prudentia transegiſſet lætusque transmiſiſſet vitam ſanctiſſimus Abraham, congruum imponit finem, non morbo aliquo ex intemperantiæ aut alterius vitii fœtu afflictus, ſed naturali marcore; * Gen. 25, 21. lætus decedens matura & plena cap. 25, 8. ſenectute, Deo familiaris. *Et deficiens mortuus eſt in ſenectute bona, provectaque ætatis, & plenus dierum.* Neque enim longitudine temporis, ſed ſtatu vitæ & magnitudine virtutis definitur ætas.

Hæres autem & imitator erat patris ſanctiſſimus noſter pater Iſaac, cum in ceteris virtutibus, tum in prudentia. Vivoque patri uſque ad mortem ejus obediens fuit, atque Deo tranquillitatem vitæ largiente, contemplationibus delectabatur; ſed etiam patre ad Deum translato, ſplendide exercebat omne genus virtutis. * *Deprecatusque eſt Iſaac Dominum pro uxore ſua, quod eſſet ſterilis.* Et ad imitationem patris opinabile prudenter devitans periculum, inter-

ἐρωτῶσι

ἐρωτῶσι περὶ Ῥεβέκκας εἶπεν, ἀδελφή μου ἐστί. τῷ τε Ἀβιμέλεχ ἄπελθε ἀφ' ἡμῶν εἰπόντι, ὑπεῖξε, τὴν εἰρήνην καὶ τὴν ἀπραγμοσύνην αἱρούμενος, καὶ μεταμεληθέντα πάλιν προσίεται τὸν Ἀβιμέλεχ, καὶ φιλόφρονι δεξιοῦται δοχῇ. καὶ ἠγάπησε μὲν τὸν Ἡσαῦ, ἀλλὰ τῇ θείᾳ ψήφῳ παραχωρήσας, τὸν θεῷ πεφιλημένον Ἰακὼβ προτετίμηκε, καὶ ταῖς ἀπὸ σπλάγχνων εὐλογίαις πλουτίσας. ὑπετίθετο ἃ ὁ καιρὸς ἀνέπειθεν, ἵνα μὴ ἀνατραπῇ ἡ τῆς οἰκίας
„ ἀσφάλεια. καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν μεσοποταμίαν, φησίν. γενέσ. κεφ. κή.

Ἐκοσμεῖτο δὲ καὶ ἡ Ῥεβέκκα ἐξαισίῳ φρονήσει. μεμνημένη γὰρ
„ τῶν λόγων Κυρίου, ὅτι τῶν αὐτῆς υἱῶν ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, κεφ. κέ.
„ οὐ μόνον ῥοπῇ φύσεως ἡττωμένη, Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ·
ἀλλὰ μᾶλλον ὑπουργοῦσα θεῷ, ἐμβριθεῖ φρονήσει περιποιεῖται τῷ
„ φιλτάτῳ τὴν πατρικὴν εὐλογίαν. καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν κεφ. κζ.
„ Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλὴν, ἣ ἦν παρ' αὐτῇ ἐν τῷ
„ οἴκῳ, ἐνέδυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ τὰ
„ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ. ὁ δὲ πα- κεφ. κέ.
„ τριάρχης Ἰακὼβ ἦν ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν. ἀλλ' ἐπήνθει

rogantibus super Rebecca, dixit, soror mea est. Cumque Abimelech ad eum dixisset, Recede a nobis; cessit, pacem & otium eligens. Atque pœnitentia ductum Abimelech, rursus admittit, benigneque & humaniter excipit convivio. Atque amavit quidem Esau, sed divino cedens decreto præposuit ei Jacob Deo dilectum. Cumque benedictionibus ex toto corde eum ditasset, monet, quæ tempus suadebat, ne everteretur familiæ stabilitas, atque, * *Surge & proficiscere in Mesopotamiam*, inquit.

Erat vero etiam Rebecca ornata ingenti prudentia. Memor enim verborum Domini, quia filiorum ejus major serviturus esset minori, non Gen. 25, 23.
solum propensione naturæ victa, *Rebecca autem diligebat Jacob*; sed mul- 25, 28.
to magis Deo subserviens, magna cum prudentia acquirit charissimo paternam benedictionem. *Sumptisque* cap. 27, 15.
Rebecca vestibus Esau valde bonis, quas apud se habebat domi, induit illis Jacob filium suum juniorem: pelliculasque hædorum circumdedit manibus ejus. Ceterum Pa- * Gen. 28, 2.
triarcha *Jacob erat vir simplex, ha-* cap. 25, 27.
bitans in tabernaculis; sed inerat

τῇ ἁπλότητι φρόνησις, ἐ προδιδοῦσα τὴν εὐκαιρίαν ἐπὶ θήρᾳ τοῦ ὄντως καλοῦ. ὁ μὲν γὰρ ἀδελφὸς ἄγροικος ὢν, ἐφαύλισε τὰ πρωτοτόκια.
γενέσ. κεφ. κέ. ἀπέδοτο δὲ Ἡσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ· ὁ δὲ ἐν στερνίζεται τὸ «
*ἕρμαιον. ὑποτάσσεται δὲ καὶ τῇ μητρὶ καὶ αὐτῇ χειραγωγούσῃ. εἶπεν
κεφ. κζ. Ἰακὼβ τῷ πατρὶ, ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου, πεποίηκα καθὰ «
ἐλάλησάς μοι. χωρίζεται δὲ πρὸς καιρὸν μητρικῶν σπλάγχνων, καὶ τῆς ἐν τῷ πατρικῷ οἴκῳ ῥᾳστώνης, καὶ εἰς μεσοποταμίαν πορεύε-
κεφ. κή. ται. καὶ ἤκουσεν Ἰακὼβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ. καὶ «
ἐπορεύθη εἰς τὴν μεσοποταμίαν Συρίας. τί δὴ συνεχέστερον τοῦ εἰς «
ἔργον ἀγαγεῖν τὰ πατρὶ καὶ μητρὶ δόξαντα; καὶ τῇ ἀπουσίᾳ κατευνάσαι φόνον ἀπειλοῦντα τὸν ἀδελφόν; φρονήσεως δὲ δεῖγμα, καὶ συνέσεως ἐξαισίου, ἀπὸ τοῦ προσώπου Λάβαν εἰκάσαι τὴν τῆς
κεφ. λά. καρδίας διάθεσιν. καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν, καὶ «
ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡσεὶ χθὲς, καὶ τρίτην ἡμέραν. τὰ γὰρ χρώ- «
ματα τῆς καρδίας εἰς τὴν ἐπιφάνειαν διαθεῖ, * καὶ κάτοπτρον ψυχῆς ἐστιν ἡ ὄψις, αἵ τε αἰσθήσεις δεινοὶ προδόται. ᾔδει δὲ ὁ Ἰακὼβ ἐν δέοντι χρήσασθαι καὶ πρᾳότητι, καὶ θυμῷ, ὑπομονῇ τε, καὶ

simplicitati prudentia, non omittens occasionem captandi veri boni. Nam frater quidem cum esset agrestis, contemnebat jus primogenituræ, (Gen. 25, 33.) *Vendidit autem Esau primogenita ipsi Jacob*; at iste amplectitur insperatum lucrum. Subjicit vero se etiam matri manuducenti, (* cap. 31, 2. cap. 27, 19.) *Et dixit Jacob patri: Ego sum primogenitus tuus Esau, feci sicut præcepisti mihi.* Separatur autem ad tempus a materna affectione & paternæ domus commoditate, atque in Mesopotamiam proficiscitur. (cap. 28, 7.) *Fuitque obediens Jacob parentibus suis, & profectus est in Mesopotamiam Syriæ.* Quid autem prudentius, quam effectum dare, quod patri & matri visum fuerit, & per absentiam sopire fratrem qui cædem minabatur? Prudentiæ quoque & ingentis intellectus documentum, ex vultu Laban æstimasse affectionem cordis. * *Et animadvertit Jacob faciem Laban, quod non esset erga se sicut heri & nudius tertius.* Colores enim cordis in superficiem erumpunt, & vultus est animi speculum, sensusque, malitiosi sunt proditores. Norat vero Jacob uti opportune etiam mansuetudine, ira, pa-

παῤῥησίᾳ

» παῤῥησίᾳ ἔμφρονι. καὶ ἀποκριθεὶς Ἰακὼβ εἶπε τῷ Λάβαν, τί τὸ γενέσ. κεφ. λά.
» ἀδίκημά μου, καὶ τί τὸ ἁμάρτημά μου ὅτι κατεδίωξας ὀπίσω μου;
τήν τε πολυήμερον δουλείαν καὶ ἀχαριστίαν ἐφεξῆς αὐτῷ ὀνειδίζει. οἱ
γὰρ ἐς ἀδικίαν ὁρμῶντες, ὡς ταπολλὰ μὲν ὑποπίπτουσι λόγοις τιθασ-
σεύονται· ἐνίοτε δὲ καὶ ὑπὸ παῤῥησίας, καὶ ἀληθείας ἡττῶνται, καὶ
χεῖρας ἐνδιδόασι. πρὸς δὲ τὸν ἀδελφὸν Ἡσαῦ, φρονήσεως μεστὴν
ἐνεδείξατο ταπείνωσιν ἀπαντήσεσι, φιλοφρονήσεσι, λόγοις θέλξας,
δώροις κηλήσας, ἑπτάκις προσκυνήσας, πάντα κάλων, * τὸ τοῦ
» λόγου, κινήσας, ἐφ' ᾧ τὸν ἀδελφὸν εἰς οἶκτον ἑλκύσῃ. οὕτως ἐρεῖτε κεφ. λβ.
» τῷ κυρίῳ μου Ἡσαῦ, οὕτω λέγει ὁ παῖς σου Ἰακώβ. καὶ, ἵνα εὕρῃ
» ὁ παῖς σου χάριν ἐναντίον σου. καὶ, προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις, κεφ. λγ.
» ἕως τοῦ ἐγγίσαι τῷ ἀδελφῷ αὐτοῦ. μεταξὺ δὲ πάλιν πάσῃ μηχανῇ
» προνοεῖται καὶ τῆς ἰδίας ἀσφαλείας. διαπύρῳ γὰρ εὐχῇ, καὶ ἐνθέῳ
» τόλμῃ πρὸς θεόν, φησιν, οὐ μή σε ἀπολύσω ἐὰν μή με εὐλογήσῃς. κεφ. λβ.
» καὶ ἀκούει παρὰ τοῦ δεσπότου. ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετὰ
» ἀνθρώπων δυνατὸς ἔσῃ. μαθέτωσαν οἱ εὐφρονοῦντες εὔχεσθαι, μηδὲ

tientiaque & prudenti libertate. * *Et respondens Jacob, dixit ad Laban, quanam est injuria mea aut quodnam peccatum, ut me persequaris?* Diuturnamque servitutem & ingratitudinem deinceps ei exprobrat. Etenim qui in injustitiam ruunt, plerumque quidem submissione verborum mansuescunt, aliquando tamen vi libertatis & veritatis vincuntur, manusque dedunt. Porro erga Esau fratrem plenam prudentiæ ostendit humiliationem, occursu, comitate verborum deliniens, muneribus placans, septies adorans, omnem funem, quod proverbio dicitur, movens, ut fratrem ad misericordiam pertrahat. * Gen. 31, 36. *Sic loquimini Domino meo Esau: Hæc dicit frater tuus Jacob.* cap. 32, 4.5. Item, *Ut inveniat servus tuus gratiam in conspectu tuo.* Nec non, *Adoravit pronus in terram septies, donec appropinquaret fratri suo.* cap. 33, 3. Interea tamen omnibus modis prospicit securitati suæ. Ardente enim prece & admirabili audacia ad Deum ait: *Non dimittam te, nisi benedixeris mihi.* cap. 32, 26. 28. Auditque ex Domino: *Quoniam contra Deum fortis fuisti, etiam contra homines prævalebis.* Discant precari qui recte sapiunt,

ἀφίστασθαι

ἀφίστασθαι θεοῦ ἕως ἂν ἐπινεύσειε τῇ ἀπὸ καρδίας δεήσει. θέλει γὰρ ὁ φιλάνθρωπος θεὸς βιάζεσθαι τῇ θερμότητι τῶν εὐχῶν, καὶ ἵλεως ἐπινεύει τοῖς μὴ ἀποκάμνουσιν ἀνανεύοντι, ὀργιζομένῳ, καὶ ἀπειλοῦντι. καὶ περὶ μὲν τῆς φρονήσεως Ἰακὼβ, ὅσον γε ἐφικτὸν ἐξικέσθαι τῇ ἐμῇ ἀσθενείᾳ, ταῦτα εἰρήσθω.

Ὁ δὲ δίκαιος Ἰὼβ οὐ τῶν ἀπὸ τῆς φρονήσεως ἀγαθῶν μεμνη-
Ἰώβ. κεφ. κθ'. μένος ἔλεγεν, ἐμοῦ ἀκούσαντες προσέσχον, ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ "
βουλῇ, ἐπὶ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο. "

Περὶ δὲ τῆς τοῦ προφήτου Μωϋσέως φρονήσεως εἴ γε διελθεῖν
ἀριθμ. κεφ. ιγ'. ἐθελήσαιμεν, ἐπιλείψειε διηγουμένοις ἡμῖν ὁ χρόνος. ἀπέστειλε δὲ "
Μωϋσῆς κατασκόπους εἰς τὴν γῆν τῶν Χαναναίων ἐξ ἐπιταγῆς θεοῦ. "
ἀρέσκει γὰρ θεῷ ἡ εὔτακτος καὶ ἔμφρων ἐνέργεια τῶν δεόντων, καὶ
δίδωσιν ἡμῖν ἁπανταχοῦ ὑποδείγματα λαμπρὰ, ὅπως μετὰ φρονή-
γένεσ. κεφ. ιη'. σεως καὶ ἐρεύνης χωροίημεν ἐν ὁτῳοῦν ἐγχειρήματι. κραυγὴ Σοδόμων "
καὶ Γομόῤῥας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγά- "
λαι σφόδρα, καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν "
ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ. "

neque desistant a Deo donec annuat orationi cordiali. Vult enim clemens Deus cogi ardentibus precibus, ac propitius annuit iis qui non defetiscunt ipso abnuente, irascente, minante. Atque de prudentia quidem Jacob, quantum imbecillitati meæ assequi licuit, hæc dicta sunto.

Justus autem ille Job, nonne prudentiæ commodorum memor, dicebat: *Qui audiebant me, attendebant, & tacebant ad consilium meum: verbis meis addere nihil audebant?*

De prophetæ vero Moysis prudentia si differere velimus, tempus nos deficeret, eam enarrantes. * *Misit autem Moyses exploratores in terram Chanaan, ex mandato Dei.* Placet enim Deo ordinata & prudens exsecutio agendorum: præbetque nobis ubique exempla illustria, ut cum prudentia & indagatione aggrediamur quidquid conamur. ** *Clamor Sodomorum & Gomorrha multiplicatus est coram me, & peccata eorum magna nimis. Descendam igitur & videbo; utrum clamorem, qui venit ad me, opere compleverint, an vero non, ut discam.*

* Num. 13, 18.
** Gen. 18, 20.
Job. 24, 21.

Διέπρεπε

Διέπρεπε δὲ φρονήσει καὶ ὁ πενθερὸς αὐτοῦ Ἰοθὸρ, οὗ τοὺς λόγους
„ ἡ θεία διατρανοῖ γραφή. καὶ σὺ σεαυτῷ σκέψαι ἀπὸ παντὸς τοῦ λαοῦ Ἐξοδ. κεφ. ιη.
„ ἄνδρας δυνατοὺς, θεοσεβεῖς, ἄνδρας δικαίους, μισοῦντας ὑπερηφανίαν,
„ καὶ καταστήσεις ἐπ' αὐτῶν χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ δε-
„ κάρχους, καὶ κρινοῦσι τὸν λαὸν πᾶσαν ὥραν, τὸ δὲ ῥῆμα τὸ ὑπέρογκον
„ ἀνοίσουσιν ἐπὶ σὲ, τὰ δὲ βραχέα τῶν κριμάτων κρινοῦσιν αὐτοὶ, καὶ
„ κουφιοῦσιν ἀπὸ σοῦ, καὶ συναντιλήψονταί σοι. ἐὰν τὸ ῥῆμα τοῦτο
„ ποιήσῃς, κατισχύσει σε ὁ θεός. ἤκουσε δὲ Μωϋσῆς τῆς φωνῆς τοῦ
„ πενθεροῦ, καὶ ἐποίησεν ὅσα εἶπεν αὐτῷ. οἱ γὰρ τὴν ἀνωτάτω
κοσμοῦντες ἀρχὴν, εἰ διηνεκῶς κατατριβήσονται ταῖς ἐπὶ μέρους
δίκαις, τὰ καιριώτερα τῶν ἐγχειρημάτων, ὧν ἤρτηται ἡ τοῦ κοινοῦ
σύστασις, ἀμελούμενα διαῤῥυήσεται.

Ὅ, τε Ἰησοῦς Ναυῆ καίτοι τοῦ θεοῦ χορηγοῦντος τὰ τρόπαια,
πάσῃ μηχανῇ καὶ πάσῃ φρονήσει πραγματεύεται τὰς νίκας. καὶ Ἰησ. κεφ. η.
„ ἐνετείλατο αὐτοῖς λέγων, ὑμεῖς ἐνεδρεύσατε ὀπίσω τῆς πόλεως. Ὁ δὲ
προφήτης καὶ βασιλεὺς Δαβὶδ καὶ μωρίαν * ὑπεκρίνατο, ἵνα μὴ
παραχαράξῃ τὰ τῇ φρονήσει καθήκοντα, εἰς πρόδηλον κίνδυνον

Insigni vero erat prudentia etiam socer ejus Jethro, cujus sermones divina declarat scriptura. * *Provide autem de omni plebe viros potentes, & timentes Deum, viros justos, & qui oderint superbiam: & constitue ex eis tribunos & centuriones & decuriones, qui judicent populum omni tempore. Quidquid autem majus fuerit, referant ad te, & ipsi minora tantummodo judicent, leventque te onere; & sint tibi coadjutores. Si hoc feceris, corroborabit te Deus. Audivit autem Moyses vocem soceri, fecitque omnia quæ ille suggesserat.* Si enim ii, qui summum ornant imperium, perpetuo atterantur privatorum hominum litibus dijudicandis; principalia negotia, ex quibus pendet Reip. compages, neglecta diffluent.

* Exod. 18, 21.

Josue quoque, Deo licet largiente trophæa, omni conatu & omni prudentia procurat victorias. *Præcepitque eis, dicens, ponite insidias post civitatem.* Regius autem propheta David etiam stultitiam simulavit, ne officia prudentiæ corrumperet, in periculum evidens sese

Josue 8, 4.

βασι. ά. κεφ. κά. ἐμβαλὼν ἑαυτόν. καὶ ἦλθε Δαβὶδ πρὸς Ἀγχοῦς βασιλέα Γὲθ, καὶ «
εἶπον οἱ παῖδες Ἀγχοῦς πρὸς αὐτὸν, οὐχὶ οὗτος Δαβὶδ ὁ βασιλεὺς τῆς «
γῆς; καὶ ἔθετο Δαβὶδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἐφοβήθη «
σφόδρα ἀπὸ προσώπου Ἀγχοῦς βασιλέως Γὲθ, καὶ ἠλλοίωσε τὸ πρό- «
σωπον αὐτοῦ ἐνώπιον αὐτοῦ, καὶ προσεποιήσατο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. «
καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως, καὶ παρεφέρετο ἐν «
ταῖς χερσὶν αὐτοῦ, καὶ ἔπιπτεν ἐπὶ τὰς θύρας τῆς πύλης, καὶ τὰ «
σίελα αὐτοῦ κατέῤῥει ἐπὶ τὸν πώγωνα αὐτοῦ. καὶ διεσώθη, καὶ «
κεφ. κβ'. ἔρχεται εἰς τὸ σπήλαιον τὸ Ὀδολλάμ. αὐτὸς δὲ ἑαυτὸν ὑπὸ τοῖς «
ἁπάντων ὀφθαλμοῖς προτίθησι τύπον θεοσεβοῦς, καὶ ζήλου
ψαλ. ρ'. πλήρους φρονήσεως, οὕτως ᾄδων. διεπορευόμην ἐν ἀκακίᾳ καρδίας «
μου ἐν μέσῳ τοῦ οἴκου μου, οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου «
πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα, οὐκ ἐκολλήθη «
μοι καρδία σκαμβὴ, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον, «
τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. «
ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. οἱ «
ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' «
ἐμοῦ. πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. οὐ κατῴκει «

conjiciendo. *Et venit David ad* *Ps. 100, 2. seq. *Achis regem Geth: dixeruntque servi Achis ad eum: Numquid non iste est David rex terræ? Posuit autem David sermones istos in corde suo, & extimuit valde a facie Achis regis Geth: & immutavit os suum coram eo, & simulavit in die illo, & tympanizavit in portis urbis, & collabebatur in manus suas, & impingebat in ostia portæ, diffluebantque salivæ ejus in barbam. Atque salvus evasit, venitque in speluncam Odol-* a Reg. 22, 1. *lam.* Ipse vero seipsum sub omnium oculis proponit formulam religiosæ zelique plenæ prudentiæ, ad hunc modum canens: * *Perambulabam in innocentia cordis mei in medio domus meæ. Non proponebam ante oculos meos rem injustam, facientes prævaricationes odivi, non adhæsit mihi cor pravum: declinantem a me malignum non cognoscebam. Detrahentem secretò proximo suo hunc persequebar. Superbo oculo, & insatiabili corde, cum hoc non edebam. Oculi mei ad fideles terræ, ut sedeant mecum: ambulans in via immaculata, hic mihi ministrabat. Non ha-*

ἐν μέσῳ

„ ἐν μέσῳ τῆς οἰκίας μȣ, ποιῶν ὑπερηφανίαν. λαλῶν ἄδικα, ȣ̓ κα-
„ τεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μȣ. εἰς τὰς πρωΐας ἀπέκτεινον
„ πάντας τȣ̀ς ἁμαρτωλȣ̀ς τῆς γῆς, τȣ̃ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίȣ
„ πάντας τȣ̀ς ἐργαζομένȣς τὴν ἀνομίαν.

Τὴν δὲ Σολομῶντος φρόνησιν αἱ ἱεραὶ αὐτȣ̃ δέλτοι οἱονεὶ σάλπιγγες μυρίαις γλώσσαις ἀνὰ πᾶσαν περιηχȣ̃σι τὴν ὑφήλιον, ὃς καὶ τὸ, γνῶθι καιρὸν, ὡς μέγα φρονήσεως μόριον ὑποτίθεται τοῖς ἔχȣσι νȣ̃ν
„ ὑγιῆ. Φησὶ γὰρ, τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγ- Εκκλ. κεφ. γ.
„ ματι ὑπὸ τὸν ȣ̓ρανόν. καιρὸς τȣ̃ τεκεῖν, καὶ καιρὸς τȣ̃ ἀποθανεῖν.
„ καιρὸς τȣ̃ φυτεῦσαι, καὶ καιρὸς τȣ̃ ἐκτίλαι τὸ πεφυτευμένον. καιρὸς
„ τȣ̃ ἀποκτεῖναι, καὶ καιρὸς τȣ̃ ἰάσασθαι. καιρὸς τȣ̃ καθελεῖν, καὶ
„ καιρὸς τȣ̃ οἰκοδομεῖν. καιρὸς τȣ̃ κλαῦσαι, καὶ καιρὸς τȣ̃ γελάσαι.
„ καιρὸς τȣ̃ κόψασθαι, καὶ καιρὸς τȣ̃ ὀρχήσασθαι. καιρὸς τȣ̃ βαλεῖν
„ λίθȣς, καὶ καιρὸς τȣ̃ συναγαγεῖν λίθȣς. καιρὸς τȣ̃ περιλαβεῖν,
„ καὶ καιρὸς τȣ̃ μακρυνθῆναι ἀπὸ περιλήψεως. καιρὸς τȣ̃ ζητῆσαι,
„ καὶ καιρὸς τȣ̃ ἀπολέσαι. καιρὸς τȣ̃ φυλάξαι, καὶ καιρὸς τȣ̃ ἐκβα-
„ λεῖν. καιρὸς τȣ̃ ῥῆξαι, καὶ καιρὸς τȣ̃ ῥάψαι. καιρὸς τȣ̃ σιγᾶν, καὶ

bitabat in medio domus meæ, qui facit ſuperbiam: qui loquitur iniqua, non direxit in conſpectu oculorum meorum. In matutino interficiebam omnes peccatores terræ: ut diſperderem de civitate Domini omnes operantes iniquitatem.

Salomonis autem ſapientiam ſacræ ipſius tabulæ tamquam tubæ innumeris linguis per omnem circumſonant terrarum orbem. Qui etiam dictum illud, Noſce tempus, ut magnam prudentiæ partem, ſuggerit iis, qui recte ſapiunt, dicit enim: * *Omnia tempus habent, & ſuis ſpatiis tranſeunt univerſa ſub cœlo. Tempus naſcendi, & tempus moriendi. Tempus plantandi, & tempus evellendi quod plantatum eſt. Tempus occidendi, & tempus ſanandi. Tempus deſtruendi, & tempus ædificandi. Tempus flendi, & tempus ridendi. Tempus plangendi, & tempus ſaltandi. Tempus ſpargendi lapides, & tempus colligendi. Tempus amplexandi, & tempus longe fieri ab amplexibus. Tempus acquirendi, & tempus perdendi. Tempus cuſtodiendi, & tempus abjiciendi. Tempus ſcindendi, & tempus conſuendi. Tempus tacendi, & tempus*

* Eccleſiaſtæ 3, 1. ſeq.

καιρὸς τȣ̃ λαλεῖν. καιρὸς τȣ̃ φιλῆσαι, καὶ καιρὸς τȣ̃ μισῆσαι. «
καιρὸς πολέμȣ, καὶ καιρὸς εἰρήνης. «

Ἐπεκόσμει δὲ καὶ τȣ̀ς μεταγενεστέρȣς τῶν ἁγίων ἡ φρόνησις τȣ̃
Μακκ. ά. κεφ. ιβ. γνῶναι καιρὸν, ὡς ἐν Μακκαβαίοις. καὶ εἶδεν Ἰωνάθαν ὅτι ὁ καιρὸς «
αὐτῷ συνεργεῖ, καὶ ἐπέλεξεν ἄνδρας, καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι «
καὶ ἀνανεώσασθαι τὴν πρὸς αὐτȣ̀ς φιλίαν. καὶ πρὸς Σπαρτιάτας, «
καὶ τόπȣς ἑτέρȣς ἀπέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά. Ἐπὶ γὰρ τῇ «
σωτηρίᾳ τῶν Ἑβραίων ȣ̓κ ἀπηνήνατο ȣ̓ τε τὰς μετὰ τῶν ἀλλοτρίων
συνθήκας, πανταχόθεν τῷ ὁμοφύλῳ τὰ πρὸς σωτηρίαν, καὶ
ἀσφάλειαν περιποιȣ̈́μενος.

Διέλαμψαν δὲ καὶ γυναῖκες ἐπὶ φρονήσει, ἔλυσε σοφὴ γυνὴ τὴν
Βασιλ. β. κεφ. κ. πολιορκίαν πόλεως Ἀβέλ. καὶ ἐβόησε γυνὴ σοφὴ ἐκ τȣ̃ τείχȣς, «
καὶ εἶπεν, ἀκȣ́σατε ἀκȣ́σατε, εἴπατε δὴ πρὸς Ἰωὰβ, ἔγγισον ἕως «
ὧδε, καὶ λαλήσω πρὸς αὐτόν. ἐν κινδύνῳ γὰρ τῶν πραγμάτων «
σαλευόντων, μέγα φάρμακον φρόνησις θαῤῥαλαιότητι σύγκρατος.
ἄκȣσον τȣ̀ς λόγȣς τῆς δȣ́λης σȣ. ἵνα τί καταποντίζεις κληρονομίαν «
Κυρίȣ; καὶ ἀπεκρίθη Ἰωὰβ, καὶ εἶπεν, ἵλεώς μοι ἵλεώς μοι, εἰ «

loquendi. Tempus dilectionis, & tempus odii. Tempus belli, & tempus pacis.

Ornati autem fuere etiam posteriores sancti prudentia noscendi temporis, ut in Machabæis. *Et vidit Jonathas quia tempus eum juvat, & elegit viros, & misit eos Romam, statuere & renovare cum eis amicitiam: & ad Spartiatas, & ad alia loca misit epistolas secundum eandem formam.* Pro salute enim Hebræorum non est aspernatus etiam exterorum fœdera, undique genti suæ salutem & securitatem acquirens.

*2.Reg. 20, 16. 17. 19. 21. I. Machab. 12, 1.

Claruerunt vero etiam mulieres prudentiæ nomine. Solvit mulier sapiens obsidionem urbis Abela. * *Et exclamavit mulier sapiens de muro: Audite, audite, dicite Joab: Appropinqua huc, & loquar cum eo.* Rebus enim in periculo fluitantibus, magnum est remedium prudentia audaciæ mista. *Audi sermones ancillæ tuæ. Quare pessundas hæreditatem Domini? Respondensque Joab ait: Absit, absit hoc a me, non pes-*

κατα-

„ καταποντιῶ, καὶ εἰ φθερῶ. Φρόνησις ἀνδρείας μεςὴ, ἐ φείδεται
„ ὑπὲρ τῆς πατρίδος τȣ̃ Σαβεέ. Ἰδȣ̀, φησιν, ἡ κεφαλὴ αὐτȣ̃ ῥιφή-
„ σεται πρὸς σὲ διὰ τȣ̃ τείχȣς. καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα
„ τὸν λαὸν, καὶ ἐλάλησε πρὸς πᾶσαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς.
„ καὶ ἀφεῖλε τὴν κεφαλὴν Σαβεὲ ὑȣ̃ Βοχορὶ, καὶ διεσπάρησαν ἀπὸ
„ τῆς πόλεως.

Ἐπεδείξατο δὲ καὶ Ἰȣδὴθ ὅτι ἀρχικὸν ἡ φρόνησις, παῤῥησιάζεται ἐν καιρῷ, ἐ μνημονεύει τῆς χηρείας, ἀλλὰ πάντων ἐπιλανθάνεται, καὶ ἑαυτῆς, καὶ μονονȣχὶ βασιλικὸν ἐνδύεται κράτος, ἵνα φρονήσει, καὶ περινοίᾳ, καὶ δεινότητι σώσῃ τὴν πατρίδα. καὶ Ἰȣδὴθ. κεφ. η.
„ ἀποςείλασα τὴν ἄβραν τὴν πᾶσιν ἐφεςῶσαν τοῖς ὑπάρχȣσιν αὐτῇ
„ ἐκάλεσεν Ὀζίαν, καὶ Χαβρὶν, καὶ Χαρμὶν τȣ̀ς πρεσβυτέρȣς τῆς
„ πόλεως αὐτῆς. οἱ δὲ ὑπήκȣσαν τῷ ῥήματι, τίς γὰρ δύναται ἀντιςῆναι νεανικῇ φρονήσει ἐπὶ τῇ κρηπῖδι τῆς εὐσεβείας ἱδρυμένῃ; καὶ
„ ἦλθον πρὸς αὐτὴν, καὶ εἶπε πρὸς αὐτȣ̀ς, ἀκȣ́σατε δή μȣ ἄρχοντες
„ τῶν κατοικȣ́ντων ἐν Βετυλȣ́ᾳ ὅτι ȣ̓κ εὐθὺς ὁ λόγος ὑμῶν. καὶ νῦν
„ τίνες ἐςὲ ὑμεῖς, οἱ ἐπειράσατε τὸν θεόν; μηδαμῶς ἀδελφοὶ, μὴ
„ παροργίζετε Κύριον τὸν θεὸν ἡμῶν, ὅτι ἐὰν μὴ βȣ́ληται ἐν ταῖς

fundabo nec perdam. Prudentia fortitudine plena, patriæ causa non parcit etiam ipsi Seba. *Ecce*, inquit, *caput ejus projicietur ad te per murum. Ingressa est ergo mulier ad omnem populum, & locuta est eis sapienter: absciditque caput Seba filii Bochori: & dispersi sunt a civitate.*

Ostendit etiam Judith, prudentiam esse virtutem imperatoriam. Fiducialiter agit, tempore postulante, non meminit viduitatis, imo obliviscitur omnium, & sui ipsius, regiumque prope induit imperium, ut prudentia sua & sagacitate & solertia servet patriam. *Missaque Abra dispensatrice sua, vocavit Oziam, Chabri & Charmi, seniores urbis.* Isti autem dicto audientes fuere; quis enim potest obsistere masculæ prudentiæ, fundamento pietatis innixæ? *Et venerunt ad illam, & dixit illis: Audite me Principes inhabitantium Betuliam, quia non rectus est sermo vester. Et nunc, qui estis vos, qui tentastis Deum? Absit fratres, ut irritetis Dominum Deum nostrum; quia si nolit intra* Judith. 8, 10. seqq.

πέντε ἡμέραις βοηθῆσαι ἡμῖν, αὐτὸς ἔχει τὴν ἐξουσίαν, ἐν αἷς θέλει " σκεπάσαι ἡμέραις, ἢ καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν " ἐχθρῶν ἡμῶν. ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς Κυρίου τοῦ Θεοῦ " ἡμῶν. καὶ εἶπε πρὸς αὐτὴν Ὀζίας, πάντα ὅσα εἶπας, ἀγαθῇ καρ- " δίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου, ὅτι οὐκ ἐν " τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλὰ ἀπ' ἀρχῆς ἡμερῶν σου " ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐστι τὸ πλάσμα " τῆς καρδίας σου. κρύπτει δὲ τὴν βουλὴν αὐτῆς, καὶ φησιν, ὑμεῖς δὲ " οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν μου, οὐ γὰρ ἐρῶ ὑμῖν ἕως τοῦ τελεσθῆναι " ἃ ἐγὼ ποιῶ. κρυψίνους γάρ ἐν δέοντι ἡ φρόνησις.

Πολλῶν δὲ ἐπαίνων ἠξίωται καὶ ἐν τῇ καινῇ διαθήκῃ ἡ φρόνησις. ὁμιλῶν γὰρ τοῖς ἀνθρώποις ὁ ἡμέτερος σωτὴρ καὶ δεσπότης, πρὸ ἁπασῶν τῶν ἄλλων ἀρετῶν ἔτι δωδεκαετὴς ὤν, τὴν σοφίαν καὶ φρό-
Λουκ. κεφ. β. νησιν λαμπρῶς ἐπεδείξατο. καὶ εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζό- " μενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶν- " τα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει, καὶ "

quinque Dies succurrere nobis, ipse habet potestatem protegendi quibus vult diebus, aut vastandi nos ante faciem hostium nostrorum. Vos vero ne oppignerate consilia Domini Dei nostri. Et dixit ei Ozias: Quæcumque dixisti, bono corde locuta es, nec est qui resistat verbis tuis; quia non hodierno die sapientia tua manifestata est, verum ab initio dierum tuorum cognovit omnis populus intellectum tuum, quoniam bonum est figmentum cordis tui. Celat autem consilium suum, dicitque: *Vos autem nolo ut scrutemini actum meum, non enim indicabo vobis donec consummata sint quæ ego facio.* Occultat enim animi cogitata, ubi opus, prudentia.

Multas autem laudes meruit etiam in Novo Testamento prudentia. Quando enim inter homines versabatur Salvator noster & Dominus, præ reliquis cunctis virtutibus, adhuc duodecimo ætatis anno luculentum sapientiæ & prudentiæ specimen edidit. *Et invenerunt eum in templo, sedentem in medio doctorum, audientem illos & interrogantem eos. Stupebant autem omnes, qui eum audiebant, super prudentia & responsis*

* Luc. 2, 46.

ταῖς

» ταῖς ἀποκρίσεσιν αὐτοῦ. τούς τε μετὰ δόλου ἐρωτῶντας αὐτὸν καιρίῳ
» πεύσει διακρούεται. εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς λουκ. κεφ. κ'.
» ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτοὺς,
» ὅτι ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ εἴπατέ μοι. καὶ ἐπήνεσε κεφ. ις'.
» μὲν ὁ Κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι Φρονίμως ἐποίησε, τὰς
» δὲ μωρὰς παρθένους ἀπέκλεισε καίτοι σωφρονούσας. αἱ γὰρ πάγκαλοι τῶν ἀρετῶν παρθένοι εἰ μὴ αὐταῖς ἐπανθοίη τὸ ἀπὸ Φρονήσεως κάλλος, οὐδενός εἰσι λόγου. διὸ γρηγορεῖτέ, Φησι, γρηγορεῖτε καὶ προσεύχεσθε, προσέχετε. τὸ γὰρ ἄνουν ἐκσυρίττεται πανταχοῦ. καὶ ὁ θεσπέσιος Παῦλος Φρόνησιν τιμῶν, ἐκείνης ὑπαγορευούσης, Φόβον
„ ἐμβάλλει τῷ ἀντιπάλῳ. ὁ δὲ Παῦλος ἔφη, δείραντες ἡμᾶς δημοσίᾳ, πράξ. κεφ. ις'.
„ ἀκατακρίτους, ἀνθρώπους ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς Φυλα-
„ κὴν, καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ. καὶ εἶπεν ὁ Παῦλος, κεφ. κβ'.
„ εἰ ἄνθρωπον ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; καὶ
„ εὐθέως ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ἐν τῷ
„ συνεδρίῳ ἔκραζε, γνοὺς ὅτι τὸ ἕτερον μέρος Φαρισαίων ἦν, ἄνδρες κεφ. κγ'.
„ ἀδελφοὶ, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου. καὶ ἐγένετο στάσις τῶν

ejus. Eosque qui dolose eum interogabant, opportuna quæstione refutat. * *Dic nobis, in qua potestate hæc facis? aut quis est, qui dedit tibi hanc potestatem? Respondens autem, dixit ad illos:* ** *Interrogabo vos & ego unum verbum, respondete mihi.* Atque dispensatorem quidem injustum, quia prudenter fecerat, laudavit dominus; virgines autem fatuas quamvis pudicas, exclusit. Pulcherrimæ enim virtutum virgines, nisi eniteat in eis prudentiæ decor, non æstimantur. Quare, vigilate inquit, vigilate & orate, & attendite.

Contra vecordia ubique exsibilatur.
Sanctissimus autem Paulus, pruden-
tiam colens, ea suggerente, metum * Luc. 20, 2.
incutit hosti. *Paulus autem dixit* Act. 16, 37.
eis: Cæsos nos publice, indemnatos,
homines Romanos miserunt in carce- ** Luc. 16, 8.
rem, & nunc occulte nos ejiciunt?
Non ita. Dixitque Paulus: Si ho- Act. 12, 25.
minem Romanum & indemnatum
licet vobis flagellare? Protinus ergo
discesserunt ab illo, qui eum torturi
erant. Et in concilio exclamabat,
sciens quia altera pars Pharisæorum
esset: *Viri fratres, ego Pharisæus* Luc. 23, 6. 7.
sum, filius Pharisæi. Et facta est

Φαρι-

Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. καὶ τὴν κατ' αὐτοῦ ἐνέδραν τῶν « Ἰουδαίων μηνύει τῷ χιλιάρχῳ. τὸν νεανίαν τοῦτον ἀπάγαγε εἰς τὸν « χιλίαρχον, ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. καὶ μετὰ στρατιωτῶν « διασώζεται πρὸς Φίληκα τὸν ἡγεμόνα. καὶ ὅτε ἐβούλετο Φῆστος «
πράξ. κεφ. κε. ἀπαγαγεῖν αὐτὸν εἰς Ἱερουσαλὴμ, καίσαρα ἐπικαλοῦμαι, φησί. καὶ « μετὰ πολλῆς συνέσεως καταπλήττει τὸ ἐπίβουλον, καὶ ἀποκλίνει τὸν κίνδυνον.

Περὶ καλοκἀγαθίας. καὶ ὁποῖος ὁ καλὸς κἀγαθός.

Κεφάλ. ιθ'.

νόμ. βιβλ. η. ΤΟΥ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν, παγχάλεπον, καὶ οὐκ « ἔστιν αὐτὸ τελέως σχεῖν, ἢ τελέως γενόμενον ἀγαθὸν, ὁ Πλάτων « φησί. κολοφὼν ἀρετῶν, κέρας ἀμαλθείας, οὐ μόνον τὰς ῥίζας καὶ τὰ σπέρματα, ἀλλὰ καὶ τοὺς καρποὺς τῶν ἀρετῶν φέρον ἐν ἑαυτῷ ἐστιν ἡ καλοκἀγαθία. καὶ φύσει μὲν ἀγαθὸς μόνος ὁ θεὸς, διὰ δὲ τῆς θείας χάριτος, καὶ συντόνου ἀσκήσεως, γίγνεται καὶ ὁ ἄνθρω-

dissensio inter Pharisæos, & soluta est multitudo. Insidiis etiam se peti a Judæis significat tribuno. *Adolescentem hunc perduc ad tribunum, habet enim aliquid indicare illi.* Et ope militum salvus perducitur ad Felicem præsidem. Cumque Festus vellet eum abducere Hierosolymam, *Cæsarem appello* inquit. Et prudenter admodum perterret insidiatores, periculumque devitat.

* Act. 25, 12.

CAP. XIX.

De Probitate, qualisque sit Probus, virque bonus & integer vitæ.

Lib. 8. de Legib. I*Njuriam non patiendi vim acquirere perdifficile est, neque potest ad plenum haberi, nisi perfecte bonus quis fiat,* inquit Plato. Apex virtutum, cornu copiæ, est & non solum radices ac semina, sed & fructus virtutum in se fert probitas bonitasque. Ac natura quidem sua solus Deus est bonus, per divinam autem gratiam & continuam exercitatio-

πος

πος ἀγαθός. οὐ μένων καθεύδων καὶ ῥέγχων, ἀλλὰ διαπονούμενος καὶ διατεινόμενος ἐς θήραν καὶ κτῆσιν τῶν καλῶν κἀγαθῶν. καὶ κοινότερον μὲν ἡ καλοκἀγαθία ἐπὶ τῆς φιλανθρωπίας καὶ εὐμενείας οὐκ ἀπεικότως εἴωθε λέγεσθαι. κύριον γὰρ μέρος καλοκἀγαθίας ἡ φιλανθρωπία, ἐπειδὴ φιλάλληλον καὶ κοινωνικὸν ζῶόν ἐστιν ὁ ἄνθρωπος, καὶ ἐς τὸ εὖ ποιεῖν ὅλως ἐκκέχυται, ἔν τε λόγοις καὶ πράξεσι προδεικνύμενος τὸν ἐπίσημον τουτονὶ χαρακτῆρα τῆς θείας φύσεως, τῆς δ' ἀγαθότητος, τῆς φιλανθρωπίας, τῆς εἰς εὐποιΐαν ὁρμῆς ἀρθείσης ἐκ μέσου, τί ἂν ἄλλο εἴη ὁ ἄνθρωπος; ἢ ζῶον πολυτάραχον, ἀνόσιον, ἄθλιον, πᾶν δεινόν. ἡ δὲ καλοκἀγαθία καὶ περαιτέρω χωρεῖ, καὶ διὰ πασῶν ἥκει τῶν ἀρετῶν, ἐῤῥωμένως θηρωμένη τε καὶ ἀσκοῦσα πάντα τὰ καλὰ κἀγαθά.

Ἔστιν οὖν ἡ καλοκἀγαθία ἀρετὴ τέλειος, ὡς ὁ Ἀριστοτέλης ἀπο-
„φαίνεται, καὶ ὁ καλὸς καὶ ἀγαθὸς, ᾧ τὰ ἁπλῶς ἀγαθά, ἐστιν
„ἀγαθὰ, καὶ τὰ ἁπλῶς καλὰ, καλά. ὑγεία ἄρα καὶ ῥῶσις ψυχῆς
„ἐστιν ἡ καλοκἀγαθία. ὑγιαίνοντος δὲ τοῦ ὅλου, ὑγιαίνειν ἀνάγκη
„καὶ πάντα, ἢ τὰ πλεῖστα καὶ κυριώτατα τῶν μερῶν. Δεῖ δὴ τὸν

nem homo etiam evadit bonus. Non utique dormiens & ſtertens, ſed allaborans & contendens ad inveſtigationem & poſſeſſionem bonitatis ac probitatis. Atque communius quidem bonitas de humanitate & benevolentia non inconvenienter ſolet dici: principalis enim pars bonitatis eſt humanitas; ſiquidem amori mutuo aptum & ſociabile animal eſt homo, eſtque ad benefaciendum profuſus: ſermone & actionibus præ ſe ferens inſignem hancce divinæ naturæ imaginem: bonitate autem, humanitate, benefaciendi prona voluntate e medio ſublata, quid homo eſſet aliud quam animal turbulentem, nefarium, ærumnoſum, omnino peſſimum? Verumtamen bonitas cum probitate longius procedit, omnesque permeat virtutes, vivide perſequens & exercens omnia bona & honeſta.

Eſt igitur probitas virtus perfecta, ut Ariſtoteles pronunciat, *& probus atque vir bonus, cui ſimpliciter bona, ſunt bona, & ſimpliciter honeſta, honeſta. Sanitas ergo & bona valetudo animæ, eſt probitas. Valente autem & ſano toto, neceſſe eſt valere omnes, aut plerasque & principales partes.*

ἀσφαλῶς καὶ βεβαίως ἀγαθὸν, ἐνεργὸν εἶναι καὶ δραστήριον ἐν δέοντι, ἀκριβοῦντα τοὺς τοῦ καθήκοντος ἀριθμοὺς κατὰ τὸν εἰπόντα. οὐ δεῖ γάρ με εἶναι ἀπαθῆ, ἔλεγεν ὁ Ἐπίκτητος, ὡς ἀνδριάντα, ἀλλὰ τὰς σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους, ὡς εὐσεβῆ, ὡς υἱὸν, ὡς ἀδελφὸν, ὡς πατέρα, ὡς πολίτην. εἰ γὰρ τοῦ καλοῦ καὶ δικαίου τὸ ἀγαθὸν ἕτερόν ἐστί, φησιν, οἴχεται καὶ πατὴρ, καὶ ἀδελφὸς, καὶ πάντα τὰ πράγματα. ὥσπερ δὲ τὸ ἀμνημονοῦντα θεοῦ, τήν τε ἐπίμωμον καὶ ἀποτρόπαιον φιλαυτίαν ἀσκοῦντα, ἔρημον ἀγαθότητος ἀρετὴν μετιέναι, ἕξις τις ἂν εἴη πολιτικὴ, νόθον καὶ ἀμαυρὸν ἀρετῆς εἴδωλον, ἐπὶ γῆς συρόμενον, φύρον τε καὶ φυρόμενον, οὕτως ἐξ ἐναντίας ἀγαθότης ἔρημος φρονήσεως, δικαιοσύνης, ἀνδρείας, σωφροσύνης, καὶ τῆς ἄλλης χρυσῆς τῶν ἀρετῶν σειρᾶς, ὄνομα κενὸν ἀρετῆς, τῳόντι δὲ ἀφελοῦς καὶ ἀπερριμμένης ψυχῆς διάθεσις. ὁ γὰρ τῇ ἀληθείᾳ καλὸς κἀγαθὸς, θεοῦ μιμητής ἐστιν, ἔν τε τῷ σταδίῳ τοῦ βίου ἀγωνιζόμενος οὐ διαλείπει, ἐφ᾽ ᾧ ἀρέσαι θεῷ. οὗτος γὰρ ἀσφαλὴς κανὼν ἐπὶ θήρᾳ καὶ κτήσει βεβαίας ἀρετῆς, τὸ ὁλοσχερῶς ἕπεσθαι τῷ θείῳ.

Oportet itaque vere & constanter bonum probumque esse actuosum & efficacem ubi opus, accurate explentem numeros officii, ut ille ait. *Non enim oportet me esse sine affectu*, dicebat Epictetus, *instar statuæ, sed observare relationes naturales & adventitias, ut hominem pium, ut filium, ut fratrem, ut patrem, ut civem. Si enim diversum a justo est bonum,* inquit, *evanescit & pater & frater, & quidvis aliud.* Quemadmodum autem, obliviscendo Deum, atque vituperabilem ac detestandum sui amorem exercendo, destitutam probitate virtutem prosequi, habitus foret quidam politicus, adulterinum & obscurum virtutis simulacrum, humi repens & turbulentum; ita e contrario probitas carens prudentia, justitia, fortitudine, temperantia, reliquaque aurea virtutum catena, inane virtutis est nomen, revera autem simplicis & abjectæ animæ affectio. Nam vere bonus & probus Dei est imitator, inque curriculo vitæ certare non desinit, ut placere Deo possit. Hæc enim in sectanda & acquirenda virtute, certa est regula, Deum scilicet sequi omni conatu.

Ἔσαι

Ἔσται δὴ συνελόντι φάναι ὁ καλὸς καὶ ἀγαθὸς, ἁπλοῦς, ἄδολος, πιστὸς, ἀληθὴς, φανερὸς, εἰλικρινὴς, ἄπλαστος μετ' εὐλογιστίας, φρενῶν μεστὸς, ἀνεξαπάτητος, ἀκώλυτος, ἀπαραπόδιστος, Μάρκ. Ἀντ. εὐδίοδος, μνήμων τῶν δεόντων καὶ ξυμφερόντων, μή τε πολυῤῥήμων, μή τε πολυπράγμων, εὔπνους, ἵλεως, εὐμενὴς, συνηρμοσμένος, ἡσύχιος, ἐν καιρῷ θερμουργὸς, ζήλου ἔμπλεως, δικαιοσύνῃ ἅμα καὶ ἐπιεικείᾳ βεβαμμένος εἰς βάθος, πάσης ὕβρεως ἀνέπαφος, μεγαλόφρων, ἀνδρεῖος, μεγαλόψυχος, οἰκονομικὸς ἄνευ ῥυπαρίας, πολιτικὸς ἄνευ κακουργίας, οὐδὲν ἐν τῇ ψυχῇ πυῶδες ἔχων, οὐδὲν σαθρὸν, οὐδὲν ὕπουλον, σώφρων, κόσμιος, αἰδήμων, καθαρὸς, λαμπρὸς, αὐτάρκης, ἐλευθέριος, ἑνὶ λόγῳ, ὑγιὴς, βέβαιος, ἀκέραιος, πάσαις γραμμαῖς ἀπηκριβωμένος τὴν εἰκόνα τῆς ψυχῆς. πρὸ πάντων, δὲ καὶ ἐπὶ πᾶσι θεοφιλὴς, φιλεῖ δὲ καὶ ἑαυτόν. μετὰ γὰρ τὴν εἰς θεὸν ἀγάπην, ἔξεστιν ἑκάστῳ νόμῳ φύσεως φιλεῖν ἑαυτόν. ἔσται ἄρα τὴν κατὰ τὸ καλὸν αἵρεσιν φίλαυτος, τὴν δὲ ἐς μόνον τὸ συμφέρον τῷ σώματι φιλαυτίαν οὐκ ἔσται ὁ ἐπιεικὴς φίλαυτος, ἀλλ'

Eſt autem ſummatim indicando, vir bonus & probus, ſimplex, ſine dolo, fidelis, verax, apertus, ſincerus, non fictus cum bona ratione, cordatus, haud facilis deceptu, per obſtacula & impedimenta facile viam ſibi aperiens, neceſſaria & utilia non obliviſcens, nec loquax neque curioſus, tranquillus, placidus, benevolens, compoſitus, ſedatus, ubi opus fervidus in agendo, plenus zeli, juſtitia pariter & æquitate penitus imbutus, ab omni injuria immunis, animoſus, fortis, magnanimus, in re familiari ſine ſordibus, in Rep. ſine fraude & ſcelere, nullam in animo habens purulentiam, nihil corruptum, nihil ſubdolum, temperatus, modeſtus, verecundus, mundus, ſplendidus, ſibi ſufficiens, liberalis, uno verbo, bene ſanus, conſtans, integer, omnibus numeris abſolutam habens animæ imaginem: ante omnia vero & poſt omnia Deum amans; ſeipſum tamen itidem amans. Namque poſt amorem erga Deum, licet cuivis jure naturæ ſeipſum amare. Erit igitur ſui amans vir bonus in electione honeſti, ſed in corporeis commodis ſibi non placebit, niſi malus

ὁ Φαῦλος. οὐ δὲ γὰρ ἀπονέμει ἑαυτῷ τὸ πλεῖον ἐν χρήμασι, καὶ τιμαῖς, καὶ ἡδοναῖς, οὐδ᾽ ὑπενδίδωσι τῷ ἀλόγῳ τῆς ψυχῆς μέρει πλεονεξίας μεστὴν Φιλαυτίαν αἱρούμενος, ἀλλ᾽ ὅλως σπουδάζει τὰ δίκαια πράττειν αὐτὸς μάλιστα πάντων, καὶ τὸ καλὸν ἑαυτῷ περιποιεῖται, καὶ χαρίζεται ἑαυτοῦ τῷ κυριωτάτῳ, καὶ πάντα τούτῳ πείθεται, καὶ περὶ τὰς καλὰς πράξεις ἁμιλλᾶται, τὰ κάλλιστα διατεινόμενος πράττειν κοινῇ τε καὶ ἰδίᾳ ἑκάστῳ, τῆς τε ἀξιαγάστου ταυτησὶ Φιλαυτίας, καὶ αὐτὸς ὀνήσεται, καὶ τοὺς ἄλλους ὠφελήσει, γενναίως καὶ κοσμίως οἴσει πενίαν, καὶ πλοῦτος ἐὰν ῥέῃ οὐ προσίθεται καρδίαν, ἀλλὰ μετρίως καὶ ἄνευ μώμου οἰκονομήσει τὰ ὄντα, οὔτε ὑπὸ χρημάτων, οὔτε ὑπὸ δόξης ἡττώμενος, πάντοτε δὲ τὸ σῶφρον καὶ ἀπερίτρεπτον διατηρῶν, καὶ ἑαυτῷ τε καὶ τοῖς πέλας κατὰ τὸ δέον προσφερόμενος, καὶ ὡς λόγος αἱρεῖ, καὶ ὡς ἀρέσκει θεῷ διοικῶν τὰ προσπίπτοντα. ὑπὸ γὰρ τῆς συνειδήσεως ὁρίζονται, καὶ εἰδοποιοῦνται, καὶ περαίνονται, καὶ διακριβοῦνται, αἱ τῶν ἀνθρώπων πράξεις, καὶ καιρὸς τῷ παντὶ πράγματι. ὁ Κάϊν ἐφόνευσε τὸν Ἄβελ, καὶ τρέμων

& improbus. Neque enim vir bonus potiorem partem ſibi tribuit lucri, honorum & voluptatum, neque cedit irrationali animæ parti, amorem ſui nimium ſibi ſumentem amplectendo; ſed ſtudet omni contentione agere quod ſit juſtum, ſibique decus honeſtatis acquirit, & gratificatur principali ſui parti, eique obſequitur in omnibus, & contendit actionibus honeſtis, pulcherrimis factis & publice & privatim cuivis probare ſe nitens. Atque ex hoc laudabili amore ſui, cum ipſe utilitatem capiet, tum aliis emolumento erit. Fortiter & moderate feret paupertatem. Divitiæ ſi affluant, cor eis non mancipabit; ſed moderate & citra reprehenſionem diſpenſabit facultates, neque opibus nec honori ſuccumbens, ſemper modeſtiam & conſtantiam ſervans, atque tam erga ſeipſum quam erga ſocios decenter ſe gerens, rationique convenienter, & ut Deo placet obvia quævis adminiſtrans. Dictamine namque conſcientiæ determinantur ſpeciemque certam accipiunt, & conſummantur & accurate diſcernuntur actiones hominum, omniaque tempus habent. Cain occidit Abel, & tre-

καὶ

καὶ στένων ὡς ἀλάστωρ ἐν τῇ γῇ περίεισιν. ὁ Δαβὶδ φονεύσας τὸν Γολιὰθ, καὶ θείᾳ ψήφῳ τιμᾶται, καὶ μυρίαις γλώσσαις εὐφημεῖται καὶ γεραίρεται. Ἡρώδης τεμὼν Ἰωάννου τὴν κεφαλὴν, στηλιτεύεται, ὁ δὲ Πέτρος Ἀνανίαν καὶ Σαπφεῖραν λόγῳ νεκρώσας, ὡς ζήλου θείου μεστὸς ἐπαινεῖται. αἱ μὲν τρυφῶσαι γυναῖκες ἐλέγχονται διὰ ἐσθήτων πολυτέλειαν, Ἰουδὴθ δὲ τὸ ἔμψυχον τῆς σωφροσύνης ἄγαλμα, ἑαυτὴν ὑπὲρ πατρίδος περιττῶς καλλωπίσασα, βραβεῖον ἀπηνέγκατο „ τὴν Ὀλοφέρνους κεφαλήν. μακάριοί ἐστέ, φησιν, ὅταν ὀνειδίσωσιν Λουκ. κεφ ς΄.
„ ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν διώξωσι, καὶ ἀφορίσωσι, καὶ ἐκβάλωσι „ τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἀλλ᾽ ἕνεκεν ἐμοῦ. διάθεσιν γὰρ ἀγαθὴν „ ἡγοῦμαι εἶναι, φησιν ὁ μέγας Βασίλειος, ἐπιθυμίαν τῆς πρὸς θεὸν „ εὐαρεστήσεως σφοδρὰν, καὶ ἀκόρεστον, καὶ πεπηγῦιαν, καὶ ἀμετά„ θετον.

Τοῦτο δὴ ἔστω τῷ ὄντως καλῷ καὶ ἀγαθῷ κανὼν ἀπαράτρεπτος, τὸ πάντοτε λέγειν τε καὶ πράττειν τὰ ἀρέσκοντα θεῷ, ἅ γε καὶ ὑπὸ τοῦ ὀρθοῦ λόγου πρόδηλα γίγνεται, καὶ ὑπὸ τοῦ φωτὸς τοῦ θείου νόμου ἐλλαμπομένοις, καὶ μὴ ἑκοντὶ τυφλώττουσι λαμπρῶς ἀναφαίνεται,

mens atque gemens tamquam dirus in terris obambulat. David necato Goliath, & Divina honoratur sententia, & innumeris linguis celebratur atque glorificatur. Herodes quod Joannis caput abscidisset, notatur & damnatur. Contra Petrus qui Ananiam & Sapphiram verbo interemit, tamquam zeli plenus laudatur. Luxuriantes in vestibus pretiosis mulieres reprehenduntur; ast Judith vivum illud pudicitiæ simulacrum, cum elegantiore cultu sese ornasset pro patria, brabeum abstulit Holophernis caput. *Beati eritis*, inquit, *cum probris vos affecerint homines, & cum persecuti fuerint, cum vos separaverint, cum ejecerint nomen vestrum tamquam malum, sed propter me.* Luc. 6, 22. *Dispositionem enim bonam esse arbitror esse*, inquit magnus Basilius, *cupiditatem Deo complacendi vehementem, & insatiabilem, & fixam atque immobilem.*

Hæc ergo sit viro vere bono regula immota, ut semper dicat & agat quæ Deo placeant: quæ quidem & rectæ rationi sunt perspicua, & lumine divinæ legis illustratis neque

ἀλλ᾽ εὐχῆς δεῖ καὶ πόνου. τοῖς γὰρ ζητοῦσι καὶ ἐργαζομένοις τὰ " καλὰ, πάντως συνεπιλαμβάνεται τὸ θεῖον· τὸ δὲ ἀνειμένον, καὶ "
παραλ. β'. κεφ. λα'. *ἀναπεπτωκὸς, καὶ χαῦνον, πόῤῥω θεοῦ. καὶ ἐποίησεν Ἐζεκίας τὸ " καλὸν, καὶ τὸ εὐθὲς, καὶ τὸ ἀληθὲς ἐναντίον Κυρίου τοῦ θεοῦ αὐτοῦ, " καὶ ἐν παντὶ ἔργῳ ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ Κυρίου, καὶ ἐν τῷ " νόμῳ, καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησε τὸν θεὸν αὐτοῦ ἐξ ὅλης "*
Παῦλ. κορίν. β'. κεφ. θ'. *ψυχῆς αὐτοῦ, καὶ ἐποίησε, καὶ εὐοδώθη. ὁ δὲ σπείρων φειδομένως, " φειδομένως καὶ θερίσει.*

Οὐκ ἔστι δὲ ἱκανὴ τοῖς ὑπτιάζουσιν ἀπολογία ἡ ἁπλότης καὶ τὸ ἀμέριμνον. ἁπλότης γὰρ ἐπήνθει τῷ πατριάρχῃ Ἰακὼβ καὶ ἄπλετος ἀγαθότης, ἀλλ᾽ ἀνεκέκρατο ἐξαισίῳ φρονήσει, ἥ γε διαῤῥήδην ἀναλάμπει διὰ παντὸς αὐτοῦ τοῦ βίου. ἁπλοῦς, καὶ ἀμνησίκακος, καὶ φιλάνθρωπος, καὶ ἐπὶ καλοκἀγαθίᾳ περίβλεπτος ἦν ὁ γενναῖος Ἰωσὴφ, ἀλλ᾽ οὐκ ἠμέλει τῶν δεόντων, ἐφρόντιζε πατρὸς, ἀδελφῶν, παντὸς τοῦ ἀπογόνου φύλου, ἀπεδίδου καὶ τῷ Φαραὼ τὰ καθήκοντα, λύων φρονήσει καὶ προμηθείᾳ λιμὸν, καὶ πολιτικαῖς περινοίαις οὐ μόνον πλοῦτον αὐτῷ ποριζόμενος, ἀλλὰ καὶ εἰς ἀσφαλεστέραν εὐπει-

cæcutientibus patefcunt; fed orandum & laborandum. Quærentibus enim & operantibus bonum omnino coadjutor eft Deus. At remiffio & animi abjectio & laxitas procul a
2, Paral. 31, 21. Deo. *Operatusque eft Ezekias bonum & rectum & verum, coram Domino Deo fuo, in univerfa cultura minifterii domus Domini, juxta legem & ceremonias, volens requirere Deum fuum in toto corde fuo, fecitque, &*
Paul. 2. Cor. 9, 6. *profperatus eft. Qui autem parce feminat, parce & metet.*

Non eft autem idonea fupinis ac remiffis excufatio, fimplicitas & incuriofitas. Simplicitas enim inerat patriarchæ Jacob & ingens bonitas, fed temperata fingulari prudentia, quæ quidem plane elucet in tota ejus vita. Simplex, malorum oblivifcens, & humanus, & probitate confpicuus erat generofus ille Jofeph; fed neceffaria non negligebat: patris curam agebat, fratrum, omnis pofteritatis. Reddebat etiam Pharaoni officia, diffolvens prudentia & providentia fua famem, ac politica fagacitate non folum opes fibi acquirens, fed etiam ad certiorem

θειαν

θειαν συνελαύνων τὸ ὑπήκοον. ἡ γὰρ ἀρετὴ ἀρχικόν ἐςι χρῆμα, ὡς ὁ ἱερὸς Ἰσίδωρος περὶ τοῦ ἁγιωτάτου καὶ πολιτικωτάτου Ἰωσὴφ
„ φησιν. ἀρετῆς γὰρ καὶ φιλοσοφίας ὅρος τὸ μετὰ συνέσεως ἄπλαςον. βιβλ. γ. ἐπις. ρλ.
„ καὶ ὁ θεῖος Μακάριος, καὶ γὰρ οἱ χρηςοὶ κατὰ φύσιν, φησὶν, ἐὰν
„ μὴ ἀσφαλίσωνται, κατὰ μικρὸν δι᾽ αὐτῆς τῆς χρηςότητος ὑποσύ-
„ ρονται. καὶ πάλιν, δεῖ οὖν ἐν πᾶσι τοῖς μέρεσι συγκεκραμένον εἶναι
„ τὸν ἄνθρωπον, τὸ χρηςὸν μετὰ τοῦ ἀποτόμου, τὸ σοφὸν μετὰ δια-
„ κρίσεως, τὸν λόγον μετὰ τοῦ ἔργου, τὸ ὅλον, πεποιθέναι ἐπὶ Κύριον,
„ καὶ μὴ ἐφ᾽ ἑαυτόν. ἡ γὰρ ἀρετὴ διὰ πολλῶν ἀρτύεται, καὶ οὐ μόνον
„ διὰ μέλιτος, ἀλλὰ καὶ πεπέρεως. καὶ ὁ θεοφόρος Ἰγνάτιος, διὰ
„ τοῦτο σαρκικὸς εἶ, φησι, καὶ πνευματικὸς, ἵνα τὰ φαινόμενά σου εἰς
„ πρόσωπον κολακεύῃς. εἰς τοῦτο ἴσως αἰνιττόμενος, ὅτι μετὰ συνέσεως διϊθύνειν ἕκαςος ὀφείλει τὰ ἀνήκοντα εἰς τὸν πνευματικὸν καὶ σωματικὸν βίον, ὡς ἀπαιτεῖ ὁ καιρὸς, καὶ ἡ τῶν πραγμάτων κατάςασις. ὥςε ἑρμηνείαν εἶναι καὶ τοῦτο τοῦ φρόνιμος εἶναι ὡς ὁ ὄφις, καὶ τοῦ, μὴ γίνεσθε ἄσοφοι, ἀλλὰ σοφοὶ ἐξαγοραζόμενοι τὸν καιρόν. κατωτέρω γὰρ ὁ αὐτὸς θεῖος ἀνήρ φησι, τοὺς καιροὺς καταμάνθανε.

obedientiam compellens ſubjectos. *Virtus enim res eſt imperatoria*, ut ſanctus Iſidorus de ſanctiſſimo & ſummo politico Joſeph inquit. Virtutis enim & philoſophiæ apex eſt candor cum prudentia conjunctus. Et divus Macarius, *Probi enim ſuapte natura niſi ſeſe muniant, paulatim per ipſam probitatem ſupplantantur.* Ac rurſum: *Oportet igitur ex omni parte temperatum eſſe hominem, benignitatem aſperitate, ſapientiam diſcretione, ſermonem opere, in ſumma confidere in Dominum, & non in ſeipſum. Plura enim ſunt condimenta virtutis, nec ſolum mel, ſed & piper.* Et Ignatius theophorus, *Idcirco carnalis es*, inquit, *ſimulque ſpiritualis, ut apparentibus in faciem blandiaris.* Id fortaſſe innuens, prudenter quemque debere dirigere ea quæ ad ſpiritualem quæve ad corporalem vitam pertinent, prout tempus poſtulat rerumque ſtatus. Ut & hoc quaſi interpretamentum ſit illius, *Prudentem eſſe ſicut ſerpentem:* nec non illius, *Ne ſitis inſipientes, ſed ſapientes, redimentes tempus.* Inferius enim idem vir ſanctiſſimus ait, *Tempora conſidera.*

διὰ

Ὡσηέ. κεφ. ζ. διὰ τοῦτο ὁ προφήτης, ἦν Ἐφραΐμ, φησιν, ὡς περιστερὰ ἄνους, οὐκ «
Ἰσίδω. βιβλ. δ'. ἐπισ. ρλζ'. ἔχουσα καρδίαν. εἰ γὰρ τὸ ἀκέραιον καὶ ἀκακόηθες προσέταξεν «
ὁ δεσπότης μιμεῖσθαι τῆς περιστερᾶς, ἀλλὰ τὸ ἀνόητον ἐκκλίνειν χρή. «
εἰ γὰρ καὶ μὴ βλάπτειν χρὴ, ἀλλ' οὐ δὲ εἰς τὰ καίρια βλάπτεσθαι «
βιβλ. γ'. ἐπισ. τοθ'. προσήκει. καὶ ἀλλαχοῦ, οὔτε ἀλαζόνα εἶναι χρὴ, οὔτε κόλακα, «
ἀλλ' ἀμφοτέρων τῶν κακιῶν τούτων τὴν ἀμετρίαν κολάζοντα, ἐλευ- «
θέριον εἶναι, μή τε εἰς αὐθάδειαν ἀποκλίνοντα, μή τε εἰς δουλοπρέ- «
πειαν καταπίπτοντα. καὶ πάλιν ὁ αὐτὸς σοφίας καὶ συνέσεως ἐς «
βιβλ. γ'. ἐπισ. σξδ'. ἄκρον ἐληλακὼς θεῖος πατήρ. ἐγὼ εἰ καὶ παράδοξον εἶναι δοκεῖ τὸ «
ῥηθησόμενον, μεγαλοφροσύνην τὴν μετὰ λόγου φρόνησιν εἶναι ὁρίζο- «
μαι. οὐ γὰρ εἴ τις μὴ εἴη κόλαξ, τοῦτον ἀλαζόνα γραπτέον, οὐδ' εἴ «
τις κόλαξ εἴη καὶ ἀγενὴς, τοῦτον μετριόφρονα νομιστέον, ἀλλὰ τὸν «
τὰ πρέποντα μὲν πράττοντα, μὴ φυσώμενον δὲ κατὰ τῶν πέλας, «
μήδ' αὐτὸν ὑπερτιθέντα ἀπάντων, ἀλλ' ἐν τῇ προσηκούσῃ τάξει «
τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα. μεγαλόψυχον μὲν «
γὰρ εἶναι χρὴ, οὐχ ὑπερήφανον· ἀνδρεῖον, οὐ θρασύν· ἐπιεικῆ, οὐ «

Osea 7, 11. Idcirco Propheta *Erat*, inquit,
* 3. Epist. 264. *Ephraim quasi columba amens, non*
Isid. 4. Epist. 137. *habens cor. Etsi enim simplicitatem columbæ quæ est sine malignitate imitari nos jussit Dominus: tamen stoliditatem ejus fugere oportet: Quamquam enim lædere neminem oportet, tamen neque lethales accipere plagas*
3. Epist. 379. *ab aliis convenit.* Et alibi: *Neque vanum & arrogantem esse oportet, nec adulatorem; verum utriusque hujus vitii excessum coërcendo liberum esse: ita ut nec in insolentiam quis declinet, neque in servilem vilitatem prolabatur.* Ac rursus idem ille ad summum prudentiæ & sapientiæ provectus pater sanctissimus: * *Ego, etsi mirum esse videatur quod sum dicturus*, μεγαλοφροσύνην, i. e. *magnanimitatem, statuo esse* φρόνησιν μετὰ λόγου, i. e. *sensum animi rationalem. Non enim, si quis assentator non sit, is arrogans judicandus: neque si quis adulator sit & vilis, hic pro modesto habendus: sed is qui faciens consentanea, non inflatur adversus alios, nec seipsum omnibus anteponit: verum in eo gradu atque ordine qui ingenuos decet, seipsum continet. Magnanimum enim esse oportet, non superbum: fortem, non temerarium: suavem ac faci-*

δουλο-

„ δουλοπρεπῆ. μετριόφρονα, οὐ ταπεινοφροσύνην ὑποκρινόμενον. ἐλευ-
„ θέριον, οὐκ ἀνδραποδώδη, οἷος ἦν καὶ ὁ θεοφιλὴς Ἀβραάμ. ὃς
„ λαφύρων μὲν ὑπερεφρόνει περσικῶν, καὶ σκύλων βαρβαρικῶν,
„ ξενοδοχῶν δὲ, ἁπάντων ταπεινότερος ἦν, τὰ οἰκετῶν διαπραττόμε-
„ νος, καὶ θείας ὁμιλίας ἀξιούμενος ἔλεγεν, ἐγώ εἰμι γῆ καὶ σποδός.
„ τοῦτό ἐστιν ὡς ἀληθῶς συναγαγεῖν εἰς ταυτὸ μετριοφροσύνην, καὶ
„ ταπεινότητα, καὶ ὕψος. καὶ τοῦτό ἐστιν ἐλευθεριότητα δεῖξαι ὑπερη-
„ φανίας ἀπηλλαγμένην. οἱ δὲ ταῖς κακίαις τὰ τῶν ἀρετῶν ὀνόμα-
„ τα περιτιθέντες, καὶ ταῖς ἀρεταῖς τὰ τῶν κακιῶν, καὶ πάντα
„ χρήματα μιγνῦντες ἵνα ἡ ἀρετὴ δυσδιάγνωστος γένηται, αὐτὴν τὴν
„ ἀρετὴν ἐξοστρακίζειν μοι δοκοῦσι.

Τὸ δὲ ἐν κόσμῳ εἰσέτι εἰλούμενον ἁπλότητος προφάσει περὶ τὴν οἰκονομίαν ῥαθύμως ἔχειν, ἀῤῥώστημα διανοίας ἐστίν. οὐ δὲ γὰρ ὁ πλοῦτος κακὸν, ἀλλὰ τὸ προστετηκότα τῷ πλούτῳ ἀμνημονεῖν θεοῦ. καὶ οὐ μόνον Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ ἕτεροι τῶν θείων πατέρων πλούτῳ περιῤῥεόμενοι, καὶ ἀξιώμασι φαιδρυνόμενοι ἤσκουν νεανικὴν ἀρετὴν ὁσημέραι ὁμιλοῦντες θεῷ, ἀλλὰ καὶ ἐν

lem, non abjectum & vernilem: modestum, non humilitatis simulatorem: ingenuum & liberalem, non servilem. Qualis erat & Abraham ille pius Deoque gratus, qui Persicas quidem manubias & spolia barbarica contemnebat, in excipiendis autem hospitibus, omnium erat humillimus, servilia munia exequens: atque cum ad divinum colloquium admitteretur; dicebat, Ego sum terra & cinis. Hoc vere est modestiam & humilitatem & sublimitatem in unum colligere: hoc est ingenuitatem a superbia puram demonstrare. Contra qui vitiis virtutum, & virtutibus vitiorum nomina imponunt, omniaque permiscent, ut virtus ægre internosci queat, virtutem ipsam meo quidem judicio, velut in exilium mittunt.

Ceterum versantem adhuc in hoc mundo simplicitatis prætextu res domesticas segniter administrare, imbecillitas mentis est. Neque enim divitiæ sunt malum, sed divitiis affixum immemorem esse Dei. Ac non solum Abraham & Isaac & Jacob, aliique ex sanctissimis patribus, opibus circumfluentes, & dignitatibus ornati, exercebant masculam virtutem, quotidie cum Deo conversantes; verum etiam in

τῷ καινῷ νόμῳ τὸ ἐπὶ ἀνεπιμώμοις ὠφελείαις ἑαυτοῦ τε καὶ τοῦ πλησίον χρῆσθαι τοῖς οὖσιν, οἰκονομοῦντα καὶ διατῶντα ὡς θεῷ φίλον, ἐφεῖται. τῷ γὰρ γυμνῇ τῇ ψυχῇ ἐς θεωρίαν ἱπταμένῳ ὑποτίθεται ὁ φιλάνθρωπος δεσπότης πωλῆσαι τὰ ὑπάρχοντα. πώ-

Ματθ. κεφ. ιθ. λησόν σου γάρ, φησι, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τὸ δὲ ἐκλικμήσαντα τὰ ὄντα μὴ ἀκολουθῆσαι τῷ οὐρανίοις θησαυροῖς πλουτίζοντι βασιλεῖ, καὶ διὰ τῆς ἐπὶ γῆς ἀκτημοσύνης ἀναπεταννῦντι τὰ ἁπάντων ταμεῖα, μαινομένου ἂν εἴη, καὶ μηδαμῶς καθικνουμένου τοῦ νοῦ τῶν θείων λογίων. ὁ δὲ ἐλλογιμώτατος καὶ πολυΐστωρ Κλήμης, ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων ἐκκλησίας γεγονὼς ἱερεὺς, ἀνὴρ ἀρχαιότατος, καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων, ἐν τῷ ἐπιγραφομένῳ λόγῳ, τὶς ὁ σωζόμενος πλούσιος; πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησι. τὶ τοίνυν « ἦν τὸ προτρεψάμενον αὐτὸν εἰς φυγὴν, καὶ ποιῆσαν ἀπαυτομολῆ- « σαι τοῦ διδασκάλου, τῆς ἱκεσίας, τῆς ἐλπίδος, τῆς ζωῆς, τῶν « προπεπονημένων; πώλησον τὰ ὑπάρχοντά σου. τὶ δὲ τοῦτό ἐστιν; « οὐχ ἃ προχείρως δέχονταί τινες, τὴν ὑπάρχουσαν οὐσίαν ἀποῤῥίψαι «

nova lege ad inculpatas commoditates & ſuas cujusque & proximi, opibus uti, adminiſtrando & diſpenſando ut Deo gratum, permittitur. Eum enim qui nuda anima in contemplationem ſubvolat clemens Dominus

Matth. 19, 21. jubet vendere ſubſtantiam: *Vende*, enim, inquit, *quæ habes*, *& da pauperibus*, *& veni*, *ſequere me.* Non autem ſequi, eventilatis opibus, regem cœleſtibus theſauris ditantem, ac per inopiam in terris, patefacientem omnium promptuaria, inſani eſſet, minimeque aſſequentis mentem divinorum oraculorum. At diſſertiſſimus ille & multiſcius Clemens, ſanctiſſimus Alexandrinorum Eccleſiæ ſacerdos, vir antiquiſſimus, non longe ab temporibus Apoſtolicis, in ſermone qui inſcribitur, Quis dives ſalvus? inter alia hæc etiam dicit: *Quid igitur erat quod ei fugam ſuaſerat, deſertoremque fecerat Magiſtri, interceſſionis, ſpei, vitæ, & profectuum quos fecerat? Vende quæ habes. Quid hoc ſibi vult? Non, ut aliqui nimis prompte accipiunt, ſubſtantiam & opes abjicere jubet, pecuniasque miſſas facere; ſed opiniones de divi-*

„προςάσσει, καὶ ἀποςῆναι ἀπὸ τῶν χρημάτων, ἀλλὰ τὰ δόγματα „περὶ χρημάτων ἐξορίσαι τῆς ψυχῆς, τὴν περὶ αὐτὰ πτοίαν, καὶ „νόσον, τὰς μερίμνας, τὰς ἀκάνθας τȣ̃ βίȣ, αἳ τὸ σπέρμα τῆς „ζωῆς συμπνίγȣσιν. ȣ̓́τε γὰρ μέγα καὶ ζηλωτὸν τὸ τηνάλλως ἀπο- „ρεῖν χρημάτων μὴ ἐπὶ λόγῳ ζωῆς, ȣ̓́τω μὲν γὰρ ἂν ἦσαν οἱ μηδὲν „ἔχοντες μηδαμῆ, ἀλλὰ ἔρημοι καὶ μεταῖται τῶν ἐφ᾽ ἡμέραν οἱ „κατὰ τὰς ὁδȣ̀ς ἐῤῥιμμένοι πτωχοὶ, ἀγνοȣ̃ντες δὲ Θεὸν, καὶ δικαιο- „σύνην Θεȣ̃, κατ᾽ αὐτὸ μόνον τὸ ἄκρως ἀπορεῖν καὶ ἀμηχανεῖν βίȣ, „καὶ τῶν ἐλαχίςων σπανίζειν, μακαριώτατοι, καὶ θεοφιλέςατοι, „καὶ μόνοι ζωὴν ἔχοντες αἰώνιον. ȣ̓́τε καινὸν τὸ ἀπείπασθαι πλȣ̃τον, „καὶ χαρίσασθαι πτωχοῖς, ὃ πολλοὶ πρὸ τῆς τȣ̃ σωτῆρος καθόδȣ „πεποιήκασιν. οἱ μὲν τῆς εἰς λόγȣς σχολῆς καὶ νεκρᾶς σοφίας ἕνεκεν, „οἱ δὲ φήμης κενῆς καὶ κενοδοξίας, Ἀναξαγόραι, καὶ Δημόκριτοι, „καὶ Κράτητες.* καὶ κατωτέρω, δύναταί τις ἀποφορτισάμενος „τὴν κτῆσιν, ȣ̓δὲν ἧττον ἔτι τὴν ἐπιθυμίαν καὶ τὴν ὄρεξιν τῶν χρη- „μάτων ἔχειν ἐντετηκυῖαν καὶ συζῶσαν. καὶ τὴν μὲν χρῆσιν ἀποβε- „βληκέναι, ἀπορῶν δὲ ἅμα καὶ ποθῶν ἅπερ ἐσπάθησε, διπλῆ

tiis exterminare ex animo, pavorem circa eas, & morbum, & curas, vitæ spinas, quæ semen vitæ suffocant. Neque enim magnum & mirabile est, gratis carere opibus sine conditione vitæ; sic enim illi qui plane nihil habent, qui destituti omnibus rebus, pauperes humi jacentes mendicant diurnum victum, Deum autem & justitiam Dei ignorant, hoc solo respectu, quia sunt in egestate summa, victusque penuria laborant, & minimis rebus egent, forent beatissimi Deoque gratissimi, solique haberent vitam æternam. Nec novum est abdicare divitias, & donare pauperibus, id quod multi ante Salvatoris adventum fecere: partim ut studiis vacare possent & mortuæ illi sapientiæ, partim inanis gloriæ vanæque famæ causa, Anagoræ, & Democriti, & Cratetes. Inferius etiam: *Potest quis exonerata possessione nihilominus adhuc retinere desiderium & cupiditatem opum penitus insitam & consuetam: atque usum quidem amisisse, egendo autem & desiderando quæ profudit dupliciter cruciari, & commo-*

τῷ καινῷ νόμῳ τὸ ἐπὶ ἀνεπιμώμοις ὠφελείαις ἑαυτοῦ τε καὶ τοῦ πλησίον χρῆσθαι τοῖς οὖσιν, οἰκονομοῦντα καὶ διαιτῶντα ὡς θεῷ φίλον, ἐφεῖται. τῷ γὰρ γυμνῇ τῇ ψυχῇ ἐς θεωρίαν ἱπταμένῳ ὑποτίθεται ὁ φιλάνθρωπος δεσπότης πωλῆσαι τὰ ὑπάρχοντα. πώ-

Ματθ. κεφ. ιθ. λησόν σου γάρ, φησι, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τὸ δὲ ἐκλικμήσαντα τὰ ὄντα μὴ ἀκολουθῆσαι τῷ οὐρανίοις θησαυροῖς πλουτίζοντι βασιλεῖ, καὶ διὰ τῆς ἐπὶ γῆς ἀκτημοσύνης ἀναπεταννῦντι τὰ ἁπάντων ταμεῖα, μαινομένου ἂν εἴη, καὶ μηδαμῶς καθικνουμένου τοῦ νοῦ τῶν θείων λογίων. ὁ δὲ ἐλλογιμώτατος καὶ πολυΐστωρ Κλήμης, ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων ἐκκλησίας γεγονὼς ἱερεὺς, ἀνὴρ ἀρχαιότατος, καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων, ἐν τῷ ἐπιγραφομένῳ λόγῳ, τίς ὁ σωζόμενος πλούσιος; πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησι. τί τοίνυν « ἦν τὸ προτρεψάμενον αὐτὸν εἰς φυγὴν, καὶ ποιῆσαν ἀπαυτομολῆ- « σαι τοῦ διδασκάλου, τῆς ἱκεσίας, τῆς ἐλπίδος, τῆς ζωῆς, τῶν « προπεπονημένων; πώλησον τὰ ὑπάρχοντά σου. τί δὲ τοῦτό ἐστιν; « οὐχ ἃ προχείρως δέχονταί τινες, τὴν ὑπάρχουσαν οὐσίαν ἀποῤῥίψαι «

nova lege ad inculpatas commoditates & suas cujusque & proximi, opibus uti, administrando & dispensando ut Deo gratum, permittitur. Eum enim qui nuda anima in contemplationem subvolat clemens Dominus

Matth. 19, 21. jubet vendere substantiam: *Vende*, enim, inquit, *quæ habes*, *&* *da pauperibus*, *&* *veni*, *sequere me.* Non autem sequi, eventilatis opibus, regem cœlestibus thesauris ditantem, ac per inopiam in terris, patefacientem omnium promptuaria, insani esset, minimeque assequentis mentem divinorum oraculorum. At dissertissimus ille & multiscius Clemens, sanctissimus Alexandrinorum Ecclesiæ sacerdos, vir antiquissimus, non longe ab temporibus Apostolicis, in sermone qui inscribitur, Quis dives salvus? inter alia hæc etiam dicit: *Quid igitur erat quod ei fugam suaserat, desertoremque fecerat Magistri, intercessionis, spei, vitæ, & profectuum quos fecerat? Vende quæ habes. Quid hoc sibi vult? Non, ut aliqui nimis prompte accipiunt, substantiam & opes abjicere jubet, pecuniasque missas facere; sed opiniones de divi-*

„προςάσσει, καὶ ἀποςῆναι ἀπὸ τῶν χρημάτων, ἀλλὰ τὰ δόγματα „περὶ χρημάτων ἐξορίσαι τῆς ψυχῆς, τὴν περὶ αὐτὰ πτοίαν, καὶ „νόσον, τὰς μερίμνας, τὰς ἀκάνθας τῦ βίυ, αἳ τὸ σπέρμα τῆς „ζωῆς συμπνίγυσιν. ὔτε γὰρ μέγα καὶ ζηλωτὸν τὸ τηνάλλως ἀπο„ρεῖν χρημάτων μὴ ἐπὶ λόγῳ ζωῆς, ὕτω μὲν γὰρ ἂν ἦσαν οἱ μηδὲν „ἔχοντες μηδαμῆ, ἀλλὰ ἔρημοι καὶ μεταῖται τῶν ἐφ᾽ ἡμέραν οἱ „κατὰ τὰς ὁδὺς ἐῤῥιμμένοι πτωχοὶ, ἀγνοῦντες δὲ θεὸν, καὶ δικαιο„σύνην θεῦ, κατ᾽ αὐτὸ μόνον τὸ ἄκρως ἀπορεῖν καὶ ἀμηχανεῖν βίυ, „καὶ τῶν ἐλαχίςων σπανίζειν, μακαριώτατοι, καὶ θεοφιλέςατοι, „καὶ μόνοι ζωὴν ἔχοντες αἰώνιον. ὔτε καινὸν τὸ ἀπείπασθαι πλῦτον, „καὶ χαρίσασθαι πτωχοῖς, ὃ πολλοὶ πρὸ τῆς τῦ σωτῆρος καθόδυ „πεποιήκασιν. οἱ μὲν τῆς εἰς λόγυς σχολῆς καὶ νεκρᾶς σοφίας ἕνεκεν, „οἱ δὲ φήμης κενῆς καὶ κενοδοξίας, Ἀναξαγόραι, καὶ Δημόκριτοι, „καὶ Κράτητες.* καὶ κατωτέρω, δύναταί τις ἀποφορτισάμενος „τὴν κτῆσιν, ὐδὲν ἧττον ἔτι τὴν ἐπιθυμίαν καὶ τὴν ὄρεξιν τῶν χρη„μάτων ἔχειν ἐντετηκῦιαν καὶ συζῶσαν. καὶ τὴν μὲν χρῆσιν ἀποβε„βληκέναι, ἀπορῶν δὲ ἅμα καὶ ποθῶν ἅπερ ἐσπάθησε, διπλῆ

tiis exterminare ex animo, pavorem circa eas, & morbum, & curas, vitæ spinas, quæ semen vitæ suffocant. Neque enim magnum & mirabile est, gratis carere opibus sine conditione vitæ; sic enim illi qui plane nihil habent, qui destituti omnibus rebus, pauperes humi jacentes mendicant diurnum victum, Deum autem & justitiam Dei ignorant, hoc solo respectu, quia sunt in egestate summa, victusque penuria laborant, & minimis rebus egent, forent beatissimi Deoque gratissimi, solique haberent vitam æternam. Nec novum est abdicare divitias, & donare pauperibus, id quod multi ante Salvatoris adventum fecere: partim ut studiis vacare possent & mortuæ illi sapientiæ, partim inanis gloriæ vanæque famæ causa, Anagoræ, & Democriti, & Cratetes. Inferius etiam: *Potest quis exonerata possessione nihilominus adhuc retinere desiderium & cupiditatem opum penitus insitam & consuetam: atque usum quidem amisisse, egendo autem & desiderando quæ profudit dupliciter cruciari, & commo-*

λυπεῖσθαι, καὶ τῇ τῆς ὑπηρεσίας ἀπουσίᾳ, καὶ τῇ τῆς μετανοίας παρουσίᾳ. ἀνέφικτον γὰρ καὶ ἀμήχανον, δεόμενον τῶν πρὸς τὸ βιοτεύειν ἀναγκαίων μὴ κατακλᾶσθαι τὴν γνώμην, καὶ ἀσχολίαν ἄγειν ἀπὸ τῶν κρειττόνων, ὁπωσοῦν καὶ ὁθενοῦν ταῦτα πειρώμενον ἐκπορίζειν. καὶ πάλιν, πῶς ἄν τις πεινῶντα τρέφοι, καὶ διψῶντα ποτίζοι, καὶ γυμνὸν σκεπάζοι, καὶ ἄστεγον συνάγοι, ἃ τοῖς μὴ ποιήσασιν ἀπειλεῖ πῦρ, καὶ σκότος τὸ ἐξώτερον; καὶ κατωτέρω, ἀποτακτέον οὖν τοῖς ὑπάρχουσι τοῖς βλαβεροῖς, οὐχὶ τοῖς, ἐὰν ἐπιστήσῃ τὶς τὴν ὀρθὴν χρῆσιν, καὶ συνωφελεῖν δυναμένοις. ὠφελεῖ δὲ τὰ μετὰ φρονήσεως, καὶ σωφροσύνης, καὶ εὐσεβείας οἰκονομούμενα. καὶ πάλιν, ὁ μὲν ἔχων κτήματα, καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ οἰκίας ὡς θεοῦ δωρεὰς, καὶ τῷ τε διδόντι θεῷ λειτουργῶν ἀπ᾿ αὐτῶν εἰς ἀνθρώπων σωτηρίαν, καὶ εἰδὼς ὅτι ταῦτα κέκτηται διὰ τοὺς ἀδελφοὺς μᾶλλον ἢ ἑαυτόν. καὶ κρείττων ὑπάρχων τῆς κτήσεως αὐτῶν, μὴ δοῦλος ὢν κέκληται, μηδὲ ἐν τῇ ψυχῇ ταῦτα περιφέρων, μηδὲ ἐν τούτοις ὁρίζων καὶ περιγράφων τὴν ἑαυτοῦ ζωὴν, ἀλλά τι καὶ καλὸν ἔργον καὶ θεῖον ἀεὶ διαπονῶν. κἂν ἀποστερηθῆναι δέῃ ποτὲ τούτων, δυνάμενος ἵλεῳ τῇ γνώμῃ

dorum absentia, & pœnitentiæ præsentia. Impossibile enim est, indigentem rebus vitæ necessariis non animo frangi, nec potiora negligere, conantem quomodocumque & undecumque istas comparare. Atque rursum: *Quomodo quis poterit esurienti cibum dare, sitienti potum, cooperire nudum, tecto carentem recipere, quæ non facientibus ignem minatur & tenebras exteriores?* Et inferius: *Renunciandum ergo illis facultatibus quæ nocent; non illis quæ recto adhibito usu etiam prodesse possunt. Prosunt autem, quæ prudenter & moderate & pie dispensantur.* Ac rursum: *Qui habet possessiones & aurum & argentum & domos, ut Dei munera, Deoque largitori ab illis servit ad hominum salutem, & agnoscit se hæc possidere propter fratres magis quam propter seipsum, quive quæ posside tsibi subjicit, non autem illis servit, neque in animo hæc circumfert, nec istis definit & circumscribit vitam suam, sed etiam bonum aliquod opus & divinum semper operatur: sique carendum aliquando his sit, potest placido animo*

καὶ

„ καὶ ἀπαλλαγὴν αὐτῶν ἐνεγκεῖν ἐξ ἴσου, καθάπερ καὶ τὴν περιου-
„ σίαν, οὗτος ὁ μακαριζόμενος ὑπὸ τοῦ κυρίου, καὶ πτωχὸς τῷ πνεύ-
„ ματι λαλούμενος, κληρονόμος ἕτοιμος οὐρανοῦ βασιλείας, οὐ πλούσιος
„ ζῆσαι μὴ δυνάμενος. καὶ κατωτέρω, οὕτω καὶ ἄπορός τις ἂν
„ καὶ ἄβιος εὑρεθείη ποτ' ἂν μεθύων ταῖς ἐπιθυμίαις, καὶ
„ χρήμασι πλούσιος, νήφων, καὶ πτωχεύων ἡδονῶν, πεπεισμένος,
„ συνετὸς, καθαρὸς, κεκολασμένος. καὶ κατωτέρω, ἀλλ' ὁρᾷς
„ σεαυτὸν ἡττώμενον ὑπ' αὐτῶν καὶ ἀνατρεπόμενον, ἄφες, ῥίψον,
„ μίσησον, ἀπόταξαι, φύγε. κἂν ὁ δεξιός σου ὀφθαλμὸς
„ σκανδαλίζῃ σε, ταχέως ἔκκοψον αὐτόν. αἱρετώτερον ἑτεροφθάλ-
„ μῳ βασιλεία θεοῦ, ἢ ὁλοκλήρῳ τὸ πῦρ. κἂν χεὶρ, κἂν ποὺς,
„ κἂν ἡ ψυχὴ, μίσησον αὐτήν. ἂν γὰρ ἐνταῦθα ἀπόληται
„ ὑπὲρ χριστοῦ, ἐκεῖ ζωογονήσεται. ἀλλ' εἰ δύναταί τις ἐνδοτέρω
„ τῶν ὑπαρχόντων κάμπτειν τῆς ἐξουσίας, καὶ μέτρια φρονεῖν,
„ καὶ σωφρονεῖν, καὶ θεὸν μόνον ζητεῖν, καὶ θεὸν ἀναπνεῖν, καὶ
„ θεῷ συμπολιτεύεσθαι, πτωχὸς οὗτος παρέστηκε ταῖς ἐντολαῖς,
„ ἐλεύθερος, ἀήττητος, ἄνοσος, ἄτρωτος ὑπὸ χρημάτων. εἰδὲ μὴ,

æque ferre & absentiam eorum, ficut & præsentiam; hic est qui beatus prædicatur a Domino, & pauper spiritu appellatur, certus hæres regni cæleſtis, non dives vivere nesciens. Atque inferius: *Sic è contrario etiam inops aliquis & egenus deprehendi potest aliquando ebrius concupiſcentiis: & dives opibus ſobrius, & voluptatum egens, perſuaſus, prudens, purus, castigatus.* Et inferius: *Sed ſi vides teipſum depravari & vinci ab eis, & ſubverti, relinque, abjice, odio proſequere, renuncia, fuge. Atque ſi oculus tuus dexter ſcandalizet te, cito erue eum, præoptandum enim luſco regnum Dei quam integro ignis. Item ſi manus, ſi pes, ſi anima, odio proſequere eam. Si enim hic pereat pro Christo, illic vivificabitur. Si vero quis potest intra opum potestatem flectere, & moderate de ſe ſentire, & temperatus eſſe, & Deum ſolum quærere, Deumque ſpirare, & cum Deo verſari, pauper iſte adſiſtit præceptis, liber, invictus, ſanus, a divitiis illæſus. Sin minus, citius*

ἀσφαλῶς καὶ βεβαίως ἀγαθὸν, ἐνεργὸν εἶναι καὶ δραστήριον ἐν δέοντι, ἀκριβοῦντα τοὺς τοῦ καθήκοντος ἀριθμοὺς κατὰ τὸν εἰπόντα. οὐ δεῖ " γάρ με εἶναι ἀπαθῆ, ἔλεγεν ὁ Ἐπίκτητος, ὡς ἀνδριάντα, ἀλλὰ τὰς " σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους, ὡς εὐσεβῆ, ὡς υἱὸν, ὡς " ἀδελφὸν, ὡς πατέρα, ὡς πολίτην. εἰ γὰρ τοῦ καλοῦ καὶ δικαίου τὸ " ἀγαθὸν ἕτερόν ἐστί, φησιν, οἴχεται καὶ πατὴρ, καὶ ἀδελφὸς, καὶ " πάντα τὰ πράγματα. ὥσπερ δὲ τὸ ἀμνημονοῦντα θεοῦ, τήν τε " ἐπίμωμον καὶ ἀποτρόπαιον φιλαυτίαν ἀσκοῦντα, ἔρημον ἀγαθότητος ἀρετὴν μετιέναι, ἕξις τις ἂν εἴη πολιτικὴ, νόθον καὶ ἀμαυρὸν ἀρετῆς εἴδωλον, ἐπὶ γῆς συρόμενον, φύρον τε καὶ φυρόμενον, οὕτως ἐξ ἐναντίας ἀγαθότης ἔρημος φρονήσεως, δικαιοσύνης, ἀνδρείας, σωφροσύνης, καὶ τῆς ἄλλης χρυσῆς τῶν ἀρετῶν σειρᾶς, ὄνομα κενὸν ἀρετῆς, τῷ ὄντι δὲ ἀφελοῦς καὶ ἀπερριμμένης ψυχῆς διάθεσις. ὁ γὰρ τῇ ἀληθείᾳ καλὸς κἀγαθὸς, θεοῦ μιμητής ἐστιν, ἔν τε τῷ σταδίῳ τοῦ βίου ἀγωνιζόμενος οὐ διαλείπει, ἐφ' ᾧ ἀρέσαι θεῷ. οὗτος γὰρ ἀσφαλὴς κανὼν ἐπὶ θήρᾳ καὶ κτήσει βεβαίας ἀρετῆς, τὸ ὁλοσχερῶς ἕπεσθαι τῷ θείῳ.

Oportet itaque vere & conſtanter bonum probumque eſſe actuoſum & efficacem ubi opus, accurate explentem numeros officii, ut ille ait. *Non enim oportet me eſſe ſine affectu*, dicebat Epictetus, *inſtar ſtatuæ, ſed obſervare relationes naturales & adventitias, ut hominem pium, ut filium, ut fratrem, ut patrem, ut civem. Si enim diverſum a juſto eſt bonum*, inquit, *evaneſcit & pater & frater, & quidvis aliud.* Quemadmodum autem, obliviſcendo Deum, atque vituperabilem ac deteſtandum ſui amorem exercendo, deſtitutam probitate virtutem proſequi, habitus foret quidam politicus, adulterinum & obſcurum virtutis ſimulacrum, humi repens & turbulentum; ita e contrario probitas carens prudentia, juſtitia, fortitudine, temperantia, reliquaque aurea virtutum catena, inane virtutis eſt nomen, revera autem ſimplicis & abjectæ animæ affectio. Nam vere bonus & probus Dei eſt imitator, inque curriculo vitæ certare non deſinit, ut placere Deo poſſit. Hæc enim in ſectanda & acquirenda virtute, certa eſt regula, Deum ſcilicet ſequi omni conatu.

Ἔςαι δὴ συνελόντι φᾶναι ὁ καλὸς καὶ ἀγαθὸς, ἁπλοῦς, ἄδολος, πιςὸς, ἀληθὴς, φανερὸς, εἰλικρινὴς, ἄπλαςος μετ' εὐλογιςίας, φρενῶν μεςὸς, ἀνεξαπάτητος, ἀκώλυτος, ἀπαραπόδιςος, εὐδίοδος, μνήμων τῶν δεόντων καὶ ξυμφερόντων, μή τε πολυῤῥήμων, μή τε πολυπράγμων, εὔπνους, ἵλεως, εὐμενὴς, συνηρμοσμένος, ἡσύχιος, ἐν καιρῷ θερμουργὸς, ζήλου ἔμπλεως, δικαιοσύνῃ ἅμα καὶ ἐπιεικείᾳ βεβαμμένος εἰς βάθος, πάσης ὕβρεως ἀνέπαφος, μεγαλόφρων, ἀνδρεῖος, μεγαλόψυχος, οἰκονομικὸς ἄνευ ῥυπαρίας, πολιτικὸς ἄνευ κακουργίας, οὐδὲν ἐν τῇ ψυχῇ πυῶδες ἔχων, οὐδὲν σαθρὸν, οὐδὲν ὕπουλον, σώφρων, κόσμιος, αἰδήμων, καθαρὸς, λαμπρὸς, αὐτάρκης, ἐλευθέριος, ἑνὶ λόγῳ, ὑγιὴς, βέβαιος, ἀκέραιος, πάσαις γραμμαῖς ἀπηκριβωμένος τὴν εἰκόνα τῆς ψυχῆς. πρὸ πάντων, δὲ καὶ ἐπὶ πᾶσι θεοφιλὴς, φιλεῖ δὲ καὶ ἑαυτόν. μετὰ γὰρ τὴν εἰς θεὸν ἀγάπην, ἔξεςιν ἑκάςῳ νόμῳ φύσεως φιλεῖν ἑαυτόν. ἔςαι ἄρα τὴν κατὰ τὸ καλὸν αἵρεσιν φίλαυτος, τὴν δὲ ἐς μόνον τὸ συμφέρον τῷ σώματι φιλαυτίαν οὐκ ἔςαι ὁ ἐπιεικὴς φίλαυτος, ἀλλ'

Μάρκ; Ἀντ.

Eſt autem ſummatim indicando, vir bonus & probus, ſimplex, ſine dolo, fidelis, verax, apertus, ſincerus, non fictus cum bona ratione, cordatus, haud facilis deceptu, per obſtacula & impedimenta facile viam ſibi aperiens, neceſſaria & utilia non obliviſcens, nec loquax neque curioſus, tranquillus, placidus, benevolens, compoſitus, ſedatus, ubi opus fervidus in agendo, plenus zeli, juſtitia pariter & æquitate penitus imbutus, ab omni injuria immunis, animoſus, fortis, magnanimus, in re familiari ſine ſordibus, in Rep. ſine fraude & ſcelere, nullam in animo habens purulentiam, nihil corruptum, nihil ſubdolum, temperatus, modeſtus, verecundus, mundus, ſplendidus, ſibi ſufficiens, liberalis, uno verbo, bene ſanus, conſtans, integer, omnibus numeris abſolutam habens animæ imaginem: ante omnia vero & poſt omnia Deum amans; ſeipſum tamen itidem amans. Namque poſt amorem erga Deum, licet cuivis jure naturæ ſeipſum amare. Erit igitur ſui amans vir bonus in electione honeſti, ſed in corporeis commodis ſibi non placebit, niſi malus

ὁ φαῦλος. ὁ δὲ γὰρ ἀπονέμει ἑαυτῷ τὸ πλεῖον ἐν χρήμασι, καὶ τιμαῖς, καὶ ἡδοναῖς, οὐδ' ὑπενδίδωσι τῷ ἀλόγῳ τῆς ψυχῆς μέρει πλεονεξίας μεστὴν φιλαυτίαν αἱρούμενος, ἀλλ' ὅλως σπουδάζει τὰ δίκαια πράττειν αὐτὸς μάλιστα πάντων, καὶ τὸ καλὸν ἑαυτῷ περιποιεῖται, καὶ χαρίζεται ἑαυτοῦ τῷ κυριωτάτῳ, καὶ πάντα τούτῳ πείθεται, καὶ περὶ τὰς καλὰς πράξεις ἁμιλλᾶται, τὰ κάλλιστα διατεινόμενος πράττειν κοινῇ τε καὶ ἰδίᾳ ἑκάστῳ, τῆς τε ἀξιαγάστου ταυτησὶ φιλαυτίας, καὶ αὐτὸς ὀνήσεται, καὶ τοὺς ἄλλους ὠφελήσει, γενναίως καὶ κοσμίως οἴσει πενίαν, καὶ πλοῦτος ἐὰν ῥέῃ οὐ προσίθεται καρδίαν, ἀλλὰ μετρίως καὶ ἄνευ μώμου οἰκονομήσει τὰ ὄντα, οὔτε ὑπὸ χρημάτων, οὔτε ὑπὸ δόξης ἡττώμενος, πάντοτε δὲ τὸ σῶφρον καὶ ἀπερίτρεπτον διατηρῶν, καὶ ἑαυτῷ τε καὶ τοῖς πέλας κατὰ τὸ δέον προσφερόμενος, καὶ ὡς λόγος αἱρεῖ, καὶ ὡς ἀρέσκει θεῷ διοικῶν τὰ προσπίπτοντα. ὑπὸ γὰρ τῆς συνειδήσεως ὁρίζονται, καὶ εἰδοποιοῦνται, καὶ περαίνονται, καὶ διακριβοῦνται, αἱ τῶν ἀνθρώπων πράξεις, καὶ καιρὸς τῷ παντὶ πράγματι. ὁ Κάϊν ἐφόνευσε τὸν Ἄβελ, καὶ τρέμων

& improbus. Neque enim vir bonus potiorem partem ſibi tribuit lucri, honorum & voluptatum, neque cedit irrationali animæ parti, amorem ſui nimium ſibi ſumentem amplectendo; ſed ſtudet omni contentione agere quod ſit juſtum, ſibique decus honeſtatis acquirit, & gratificatur principali ſui parti, eique obſequitur in omnibus, & contendit actionibus honeſtis, pulcherrimis factis & publice & privatim cuivis probare ſe nitens. Atque ex hoc laudabili amore ſui, cum ipſe utilitatem capiet, tum aliis emolumento erit. Fortiter & moderate feret paupertatem. Divitiæ ſi affluant, cor eis non mancipabit; ſed moderate & citra reprehenſionem diſpenſabit facultates, neque opibus nec honori ſuccumbens, ſemper modeſtiam & conſtantiam ſervans, atque tam erga ſeipſum quam erga ſocios decenter ſe gerens, rationique convenienter, & ut Deo placet obvia quævis adminiſtrans. Dictamine namque conſcientiæ determinantur ſpeciemque certam accipiunt, & conſummantur & accurate diſcernuntur actiones hominum, omniaque tempus habent. Cain occidit Abel, & tre-

καὶ

καὶ σένων ὡς ἀλάστωρ ἐν τῇ γῇ περίεισιν. ὁ Δαβὶδ φονεύσας τὸν Γολιὰθ, καὶ θείᾳ ψήφῳ τιμᾶται, καὶ μυρίαις γλώσσαις εὐφημεῖται καὶ γεραίρεται. Ἡρώδης τεμὼν Ἰωάννου τὴν κεφαλὴν, στηλιτεύεται, ὁ δὲ Πέτρος Ἀνανίαν καὶ Σαπφεῖραν λόγῳ νεκρώσας, ὡς ζήλου θείου μεστὸς ἐπαινεῖται. αἱ μὲν τρυφῶσαι γυναῖκες ἐλέγχονται διὰ ἐσθήτων πολυτέλειαν, Ἰουδὴθ δὲ τὸ ἔμψυχον τῆς σωφροσύνης ἄγαλμα, ἑαυτὴν ὑπὲρ πατρίδος περιττῶς καλλωπίσασα, βραβεῖον ἀπηνέγκατο
» τὴν Ὀλοφέρνους κεφαλήν. μακάριοί ἐστέ, φησιν, ὅταν ὀνειδίσωσιν Λου. κεφ ς'.
» ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν διώξωσι, καὶ ἀφορίσωσι, καὶ ἐκβάλωσι
» τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἀλλ' ἕνεκεν ἐμοῦ. διάθεσιν γὰρ ἀγαθὴν
» ἡγοῦμαι εἶναι, φησιν ὁ μέγας Βασίλειος, ἐπιθυμίαν τῆς πρὸς θεὸν
» εὐαρεστήσεως σφοδρὰν, καὶ ἀκόρεστον, καὶ πεπηγυῖαν, καὶ ἀμετά-
» θετον.

Τοῦτο δὴ ἔστω τῷ ὄντως καλῷ καὶ ἀγαθῷ κανὼν ἀπαράτρεπτος, τὸ πάντοτε λέγειν τε καὶ πράττειν τὰ ἀρέσκοντα θεῷ, ἅ γε καὶ ὑπὸ τοῦ ὀρθοῦ λόγου πρόδηλα γίγνεται, καὶ ὑπὸ τοῦ φωτὸς τοῦ θείου νόμου ἐλλαμπομένοις, καὶ μὴ ἑκοντὶ τυφλώττουσι λαμπρῶς ἀναφαίνεται,

mens atque gemens tamquam dirus in terris obambulat. David necato Goliath, & Divina honoratur sententia, & innumeris linguis celebratur atque glorificatur. Herodes quod Joannis caput abscidisset, notatur & damnatur. Contra Petrus qui Ananiam & Sapphiram verbo interemit, tamquam zeli plenus laudatur. Luxuriantes in vestibus pretiosis mulieres reprehenduntur; ast Judith vivum illud pudicitiæ simulacrum, cum elegantiore cultu sese ornasset pro patria, brabeum abstulit Holophernis caput. *Beati eritis*, inquit, *cum probris vos affecerint homines, & cum persecuti fuerint, cum vos separaverint, cum ejecerint nomen vestrum tamquam malum, sed propter me.* Luc. 6, 22. *Dispositionem enim bonam esse arbitror esse*, inquit magnus Basilius, *cupiditatem Deo complacendi vehementem, & insatiabilem, & fixam atque immobilem.*

Hæc ergo sit viro vere bono regula immota, ut semper dicat & agat quæ Deo placeant: quæ quidem & rectæ rationi sunt perspicua, & lumine divinæ legis illustratis neque

ἀλλ᾽ εὐχῆς δεῖ καὶ πόνου. τοῖς γὰρ ζητοῦσι καὶ ἐργαζομένοις τὰ "
καλὰ, πάντως συνεπιλαμβάνεται τὸ θεῖον· τὸ δὲ ἀνειμένον, καὶ "
παραλ. β. κεφ. λά. ἀναπεπ]ωκὸς, καὶ χαῦνον, πόῤῥω θεοῦ. καὶ ἐποίησεν Ἐζεκίας τὸ "
καλὸν, καὶ τὸ εὐθὲς, καὶ τὸ ἀληθὲς ἐναντίον Κυρίου τοῦ θεοῦ αὐτοῦ, "
καὶ ἐν παντὶ ἔργῳ ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ Κυρίου, καὶ ἐν τῷ "
νόμῳ, καὶ ἐν τοῖς προςάγμασιν ἐξεζήτησε τὸν θεὸν αὐτοῦ ἐξ ὅλης "
Παῦλ. κορίν. β. κεφ. θ'. ψυχῆς αὐτοῦ, καὶ ἐποίησε, καὶ εὐοδώθη. ὁ δὲ σπείρων φειδομένως, "
φειδομένως καὶ θερίσει.

Οὐκ ἔςι δὲ ἱκανὴ τοῖς ὑπ]ιάζουσιν ἀπολογία ἡ ἁπλότης καὶ τὸ ἀμέριμνον. ἁπλότης γὰρ ἐπήνθει τῷ πατριάρχῃ Ἰακὼβ καὶ ἄπλετος ἀγαθότης, ἀλλ᾽ ἀνεκέκρατο ἐξαισίῳ φρονήσει, ἥ γε διαῤῥήδην ἀναλάμπει διὰ παντὸς αὐτοῦ τοῦ βίου. ἁπλοῦς, καὶ ἀμνησίκακος, καὶ φιλάνθρωπος, καὶ ἐπὶ καλοκἀγαθίᾳ περίβλεπτος ἦν ὁ γενναῖος Ἰωσὴφ, ἀλλ᾽ οὐκ ἠμέλει τῶν δεόντων, ἐφρόντιζε πατρὸς, ἀδελφῶν, παντὸς τοῦ ἀπογόνου φύλου, ἀπεδίδου καὶ τῷ Φαραὼ τὰ καθήκοντα, λύων φρονήσει καὶ προμηθείᾳ λιμὸν, καὶ πολιτικαῖς περινοίαις οὐ μόνον πλοῦτον αὐτῷ ποριζόμενος, ἀλλὰ καὶ εἰς ἀσφαλεςέραν εὐπεί-

cæcutientibus pateſcunt; ſed orandum & laborandum. Quærentibus enim & operantibus bonum omnino coadjutor eſt Deus. At remiſſio & animi abjectio & laxitas procul a
2,Paral. 31,21. Deo. *Operatusque eſt Ezekias bonum & rectum & verum, coram Domino Deo ſuo, in univerſa cultura miniſterii domus Domini, juxta legem & ceremonias, volens requirere Deum ſuum in toto corde ſuo, fecitque, &*
Paul. 2. Cor. 9,6. *proſperatus eſt. Qui autem parce ſeminat, parce & metet.*

Non eſt autem idonea ſupinis ac remiſſis excuſatio, ſimplicitas & incurioſitas. Simplicitas enim inerat patriarchæ Jacob & ingens bonitas, ſed temperata ſingulari prudentia, quæ quidem plane elucet in tota ejus vita. Simplex, malorum obliviſcens, & humanus, & probitate conſpicuus erat generoſus ille Joſeph; ſed neceſſaria non negligebat: patris curam agebat, fratrum, omnis poſteritatis. Reddebat etiam Pharaoni officia, diſſolvens prudentia & providentia ſua famem, ac politica ſagacitate non ſolum opes ſibi acquirens, ſed etiam ad certiorem

θειαν συνελαύνων τὸ ὑπήκοον. ἡ γὰρ ἀρετὴ ἀρχικόν ἐςι χρῆμα, ὡς ὁ ἱερὸς Ἰσίδωρος περὶ τῦ ἁγιωτάτυ καὶ πολιτικωτάτυ Ἰωσὴφ „ φησιν. ἀρετῆς γὰρ καὶ φιλοσοφίας ὅρος τὸ μετὰ συνέσεως ἄπλαςον. βιβλ. γ. ἐπις. ρή.
„ καὶ ὁ θεῖος Μακάριος, καὶ γὰρ οἱ χρηςοὶ κατὰ φύσιν, φησὶν, ἐὰν „ μὴ ἀσφαλίσωνται, κατὰ μικρὸν δι᾽ αὐτῆς τῆς χρηςότητος ὑποσύ- „ ρονται. καὶ πάλιν, δεῖ ὖν ἐν πᾶσι τοῖς μέρεσι συγκεκραμένον εἶναι „ τὸν ἄνθρωπον, τὸ χρηςὸν μετὰ τῦ ἀποτόμυ, τὸ σοφὸν μετὰ δια- „ κρίσεως, τὸν λόγον μετὰ τῦ ἔργυ, τὸ ὅλον, πεποιθέναι ἐπὶ Κύριον, „ καὶ μὴ ἐφ᾽ ἑαυτόν. ἡ γὰρ ἀρετὴ διὰ πολλῶν ἀρτύεται, καὶ ὐ μόνον „ διὰ μέλιτος, ἀλλὰ καὶ πεπέρεως. καὶ ὁ θεοφόρος Ἰγνάτιος, διὰ „ τῦτο σαρκικὸς εἶ, φησι, καὶ πνευματικὸς, ἵνα τὰ φαινόμενά συ εἰς „ πρόσωπον κολακεύῃς. εἰς τῦτο ἴσως αἰνιττόμενος, ὅτι μετὰ συνέσεως διϊθύνειν ἕκαςος ὀφείλει τὰ ἀνήκοντα εἰς τὸν πνευματικὸν καὶ σωματικὸν βίον, ὡς ἀπαιτεῖ ὁ καιρὸς, καὶ ἡ τῶν πραγμάτων κατάςασις. ὥςε ἑρμηνείαν εἶναι καὶ τῦτο τῦ φρόνιμος εἶναι ὡς ὁ ὄφις, καὶ τῦ, μὴ γίνεσθε ἄσοφοι, ἀλλὰ σοφοὶ ἐξαγοραζόμενοι τὸν καιρόν. κατωτέρω γὰρ ὁ αὐτὸς θεῖος ἀνήρ φησι, τὺς καιρὺς καταμάνθανε.

obedientiam compellens ſubjectos. *Virtus enim res eſt imperatoria*, ut ſanctus Iſidorus de ſanctiſſimo & ſummo politico Joſeph inquit. Virtutis enim & philoſophiæ apex eſt candor cum prudentia conjunctus. Et divus Macarius, *Probi enim ſuapte natura niſi ſeſe muniant, paulatim per ipſam probitatem ſupplantantur.* Ac rurſum: *Oportet igitur ex omni parte temperatum eſſe hominem, benignitatem aſperitate, ſapientiam diſcretione, ſermonem opere, in ſumma confidere in Dominum, & non in ſeipſum. Plura enim ſunt condimenta virtutis, nec ſolum mel, ſed & piper.* Et Ignatius theophorus, *Idcirco carnalis es*, inquit, *ſimulque ſpiritualis, ut apparentibus in faciem blandiaris.* Id fortaſſe innuens, prudenter quemque debere dirigere ea quæ ad ſpiritualem quæve ad corporalem vitam pertinent, prout tempus poſtulat rerumque ſtatus. Ut & hoc quaſi interpretamentum ſit illius, *Prudentem eſſe ſicut ſerpentem:* nec non illius, *Ne ſitis inſipientes, ſed ſapientes, redimentes tempus.* Inferius enim idem vir ſanctiſſimus ait, *Tempora conſidera.*

διὰ

Ὠσηέ. κεφ. ζ. Ἰσίδω. βιβλ. δ΄. ἐπισ. ρλζ. διὰ τοῦτο ὁ προφήτης, ἦν Ἐφραΐμ, φησιν, ὡς περιστερὰ ἄνους, οὐκ “
ἔχουσα καρδίαν. εἰ γὰρ τὸ ἀκέραιον καὶ ἀκακόηθες προσέταξεν “
ὁ δεσπότης μιμεῖσθαι τῆς περιστερᾶς, ἀλλὰ τὸ ἀνόητον ἐκκλίνειν χρή. “
εἰ γὰρ καὶ μὴ βλάπτειν χρὴ, ἀλλ᾽ οὐ δὲ εἰς τὰ καίρια βλάπτεσθαι “
βιβλ. γ΄. ἐπισ. τοθ΄. προσήκει. καὶ ἀλλαχοῦ, οὔτε ἀλαζόνα εἶναι χρὴ, οὔτε κόλακα, “
ἀλλ᾽ ἀμφοτέρων τῶν κακιῶν τούτων τὴν ἀμετρίαν κολάζοντα, ἐλευ- “
θέριον εἶναι, μή τε εἰς αὐθάδειαν ἀποκλίνοντα, μή τε εἰς δουλοπρέ- “
πειαν καταπίπτοντα. καὶ πάλιν ὁ αὐτὸς σοφίας καὶ συνέσεως ἐς “
βιβλ. γ΄. ἐπισ. σξδ΄. ἄκρον ἐληλακὼς θεῖος πατήρ. ἐγὼ εἰ καὶ παράδοξον εἶναι δοκεῖ τὸ “
ῥηθησόμενον, μεγαλοφροσύνην τὴν μετὰ λόγου φρόνησιν εἶναι ὁρίζο- “
μαι. οὐ γὰρ εἴ τις μὴ εἴη κόλαξ, τοῦτον ἀλαζόνα γραπτέον, οὐδ᾽ εἴ “
τις κόλαξ εἴη καὶ ἀγενὴς, τοῦτον μετριόφρονα νομιστέον, ἀλλὰ τὸν “
τὰ πρέποντα μὲν πράττοντα, μὴ φυσώμενον δὲ κατὰ τῶν πέλας, “
μήδ᾽ αὐτὸν ὑπερτιθέντα ἁπάντων, ἀλλ᾽ ἐν τῇ προσηκούσῃ τάξει “
τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα. μεγαλόψυχον μὲν “
γὰρ εἶναι χρὴ, οὐχ ὑπερήφανον· ἀνδρεῖον, οὐ θρασύν· ἐπιεικῆ, οὐ “

Osea 7, 11. Idcirco Propheta *Erat*, inquit, * 3. Epist. 264. *Ephraim quasi columba amens, non* Isid. 4. Epist. 137. *habens cor. Etsi enim simplicitatem columbæ quæ est sine malignitate imitari nos jussit Dominus: tamen stoliditatem ejus fugere oportet: Quamquam enim lædere neminem oportet, tamen neque lethales accipere plagas* 3. Epist. 379. *ab aliis convenit.* Et alibi: *Neque vanum & arrogantem esse oportet, nec adulatorem; verum utriusque hujus vitii excessum coërcendo liberum esse: ita ut nec in insolentiam quis declinet, neque in servilem vilitatem prolabatur.* Ac rursus idem ille ad summum prudentiæ & sapientiæ provectus pater sanctissimus: * *Ego, etsi mirum esse videatur quod sum dicturus*, μεγαλοφροσύνην, i. e. *magnanimitatem, statuo esse* φρόνησιν μετὰ λόγου, i. e. *sensum animi rationalem. Non enim, si quis assentator non sit, is arrogans judicandus: neque si quis adulator sit & vilis, hic pro modesto habendus: sed is qui faciens consentanea, non inflatur adversus alios, nec seipsum omnibus anteponit: verum in eo gradu atque ordine qui ingenuos decet, seipsum continet. Magnanimum enim esse oportet, non superbum: fortem, non temerarium: suavem ac faci-*

δουλο-

„ δουλοπρεπῆ. μετριόφρονα, οὐ ταπεινοφροσύνην ὑποκρινόμενον. ἐλευ-
„ θέριον, οὐκ ἀνδραποδώδη, οἷος ἦν καὶ ὁ θεοφιλὴς Ἀβραάμ. ὃς
„ λαφύρων μὲν ὑπερεφρόνει περσικῶν, καὶ σκύλων βαρβαρικῶν,
„ ξενοδοχῶν δὲ, ἁπάντων ταπεινότερος ἦν, τὰ οἰκετῶν διαπραττόμε-
„ νος, καὶ θείας ὁμιλίας ἀξιούμενος ἔλεγεν, ἐγώ εἰμι γῆ καὶ σποδός.
„ τοῦτό ἐστιν ὡς ἀληθῶς συναγαγεῖν εἰς ταὐτὸ μετριοφροσύνην, καὶ
„ ταπεινότητα, καὶ ὕψος. καὶ τοῦτό ἐστιν ἐλευθεριότητα δεῖξαι ὑπερη-
„ φανίας ἀπηλλαγμένην. οἱ δὲ ταῖς κακίαις τὰ τῶν ἀρετῶν ὀνόμα-
„ τα περιτιθέντες, καὶ ταῖς ἀρεταῖς τὰ τῶν κακιῶν, καὶ πάντα
„ χρήματα μιγνῦντες ἵνα ἡ ἀρετὴ δυσδιάγνωστος γένηται, αὐτὴν τὴν
„ ἀρετὴν ἐξοστρακίζειν μοι δοκοῦσι.

Τὸ δὲ ἐν κόσμῳ εἰσέτι εἰλούμενον ἁπλότητος προφάσει περὶ τὴν οἰκονομίαν ῥαθύμως ἔχειν, ἀῤῥώστημα διανοίας ἐστίν. οὐ δὲ γὰρ ὁ πλοῦτος κακὸν, ἀλλὰ τὸ προστετηκότα τῷ πλούτῳ ἀμνημονεῖν θεοῦ. καὶ οὐ μόνον Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ ἕτεροι τῶν θείων πατέρων πλούτῳ περιῤῥεόμενοι, καὶ ἀξιώμασι φαιδρυνόμενοι ἤσκουν νεανικὴν ἀρετὴν ὁσημέραι ὁμιλοῦντες θεῷ, ἀλλὰ καὶ ἐν

lem, non abjectum & vernilem: modestum, non humilitatis simulatorem: ingenuum & liberalem, non servilem. Qualis erat & Abraham ille pius Deoque gratus, qui Persicas quidem manubias & spolia barbarica contemnebat, in excipiendis autem hospitibus, omnium erat humillimus, servilia munia exequens: atque cum ad divinum colloquium admitteretur; dicebat, Ego sum terra & cinis. Hoc vere est modestiam & humilitatem & sublimitatem in unum colligere: hoc est ingenuitatem a superbia puram demonstrare. Contra qui vitiis virtutum, & virtutibus vitiorum nomina imponunt, omniaque permiscent, ut virtus ægre internosci queat, virtutem ipsam meo quidem judicio, velut in exilium mittunt.

Ceterum versantem adhuc in hoc mundo simplicitatis prætextu res domesticas segniter administrare, imbecillitas mentis est. Neque enim divitiæ sunt malum, sed divitiis affixum immemorem esse Dei. Ac non solum Abraham & Isaac & Jacob, aliique ex sanctissimis patribus, opibus circumfluentes, & dignitatibus ornati, exercebant masculam virtutem, quotidie cum Deo conversantes; verum etiam in

τῷ καινῷ νόμῳ τὸ ἐπὶ ἀνεπιμώμοις ὠφελείαις ἑαυτοῦ τε καὶ τοῦ πλησίον χρῆσθαι τοῖς οὖσιν, οἰκονομοῦντα καὶ διατῶντα ὡς Θεῷ φίλον, ἐφεῖται. τῷ γὰρ γυμνῇ τῇ ψυχῇ ἐς θεωρίαν ἱπταμένῳ ὑποτίθεται ὁ φιλάνθρωπος δεσπότης πωλῆσαι τὰ ὑπάρχοντα. πώ-
Ματθ. κεφ. ιθ. λησόν σου γάρ, φησι, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τὸ δὲ ἐκλικμήσαντα τὰ ὄντα μὴ ἀκολουθῆσαι τῷ οὐρανίοις θησαυροῖς πλουτίζοντι βασιλεῖ, καὶ διὰ τῆς ἐπὶ γῆς ἀκτημοσύνης ἀναπεταννῦντι τὰ ἁπάντων ταμεῖα, μαινομένου ἂν εἴη, καὶ μηδαμῶς καθικνουμένου τοῦ νοῦ τῶν θείων λογίων. ὁ δὲ ἐλλογιμώτατος καὶ πολυΐστωρ Κλήμης, ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων ἐκκλησίας γεγονὼς ἱερεὺς, ἀνὴρ ἀρχαιότατος, καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων, ἐν τῷ ἐπιγραφομένῳ λόγῳ, τίς ὁ σωζόμενος πλούσιος; πρὸς τοῖς ἄλλοις καὶ ταῦτά φησι. τί τοίνυν « ἦν τὸ προτρεψάμενον αὐτὸν εἰς φυγὴν, καὶ ποιῆσαν ἀπαυτομολῆ- « σαι τοῦ διδασκάλου, τῆς ἱκεσίας, τῆς ἐλπίδος, τῆς ζωῆς, τῶν « προπεπονημένων; πώλησον τὰ ὑπάρχοντά σου. τί δὲ τοῦτό ἐστιν; « οὐχ ἃ προχείρως δέχονταί τινες, τὴν ὑπάρχουσαν οὐσίαν ἀποῤῥίψαι «

nova lege ad inculpatas commoditates & suas cujusque & proximi, opibus uti, administrando & dispensando ut Deo gratum, permittitur. Eum enim qui nuda anima in contemplationem subvolat clemens Dominus
Matth. 19, 21. jubet vendere substantiam: *Vende, enim, inquit, quæ habes, & da pauperibus, & veni, sequere me.* Non autem sequi, eventilatis opibus, regem cœlestibus thesauris ditantem, ac per inopiam in terris, patefacientem omnium promptuaria, insani esset, minimeque assequentis mentem divinorum oraculorum. At dissertissimus ille & multiscius Clemens, sanctissimus Alexandrinorum Ecclesiæ sacerdos, vir antiquissimus, non longe ab temporibus Apostolicis, in sermone qui inscribitur, Quis dives salvus? inter alia hæc etiam dicit: *Quid igitur erat quod ei fugam suaserat, desertoremque fecerat Magistri, intercessionis, spei, vitæ, & profectuum quos fecerat? Vende quæ habes. Quid hoc sibi vult? Non, ut aliqui nimis prompte accipiunt, substantiam & opes abjicere jubet, pecuniasque missas facere; sed opiniones de divi-*

προστάσ-

„ προςάσσει, καὶ ἀποςῆναι ἀπὸ τῶν χρημάτων, ἀλλὰ τὰ δόγματα „ περὶ χρημάτων ἐξορίσαι τῆς ψυχῆς, τὴν περὶ αὐτὰ πτοίαν, καὶ „ νόσον, τὰς μερίμνας, τὰς ἀκάνθας τȣ̃ βίȣ, αἳ τὸ σπέρμα τῆς „ ζωῆς συμπνίγȣσιν. ȣ̓͗τε γὰρ μέγα καὶ ζηλωτὸν τὸ τηνάλλως ἀπο- „ ρεῖν χρημάτων μὴ ἐπὶ λόγῳ ζωῆς, ȣ̔͗τω μὲν γὰρ ἂν ἦσαν οἱ μηδὲν „ ἔχοντες μηδαμῆ, ἀλλὰ ἔρημοι καὶ μεταῖται τῶν ἐφ' ἡμέραν οἱ „ κατὰ τὰς ὁδȣ̀ς ἐῤῥιμμένοι πτωχοὶ, ἀγνοȣ̃ντες δὲ Θεὸν, καὶ δικαιο- „ σύνην Θεȣ̃, κατ' αὐτὸ μόνον τὸ ἄκρως ἀπορεῖν καὶ ἀμηχανεῖν βίȣ, „ καὶ τῶν ἐλαχίςων σπανίζειν, μακαριώτατοι, καὶ θεοφιλέςατοι, „ καὶ μόνοι ζωὴν ἔχοντες αἰώνιον. ȣ̓͗τε καινὸν τὸ ἀπείπασθαι πλȣ̃τον, „ καὶ χαρίσασθαι πτωχοῖς, ὃ πολλοὶ πρὸ τῆς τȣ̃ σωτῆρος καθόδȣ „ πεποιήκασιν. οἱ μὲν τῆς εἰς λόγȣς σχολῆς καὶ νεκρᾶς σοφίας ἕνεκεν, „ οἱ δὲ φήμης κενῆς καὶ κενοδοξίας, Ἀναξαγόραι, καὶ Δημόκριτοι, „ καὶ Κράτητες.* καὶ κατωτέρω, δύναταί τις ἀποφορτισάμενος „ τὴν κτῆσιν, ȣ̓δὲν ἧττον ἔτι τὴν ἐπιθυμίαν καὶ τὴν ὄρεξιν τῶν χρη- „ μάτων ἔχειν ἐντετηκυῖαν καὶ συζῶσαν. καὶ τὴν μὲν χρῆσιν ἀποβε- „ βληκέναι, ἀπορῶν δὲ ἅμα καὶ ποθῶν ἅπερ ἐσπάθησε, διπλῆ

tiis exterminare ex animo, pavorem circa eas, & morbum, & curas, vitæ spinas, quæ semen vitæ suffocant. Neque enim magnum & mirabile est, gratis carere opibus sine conditione vitæ; sic enim illi qui plane nihil habent, qui destituti omnibus rebus, pauperes humi jacentes mendicant diurnum victum, Deum autem & justitiam Dei ignorant, hoc solo respectu, quia sunt in egestate summa, victusque penuria laborant, & minimis rebus egent, forent beatissimi Deoque gratissimi, solique haberent vitam æternam. Nec novum est abdicare divitias, & donare pauperibus, id quod multi ante Salvatoris adventum fecere: partim ut studiis vacare possent & mortuæ illi sapientiæ, partim inanis gloriæ vanaque famæ causa, Anagoræ, & Democriti, & Cratetes. Inferius etiam: *Potest quis exonerata possessione nihilominus adhuc retinere desiderium & cupiditatem opum penitus insitam & consuetam: atque usum quidem amisisse, egendo autem & desiderando quæ profudit dupliciter cruciari, & commo-*

λυπεῖσθαι, καὶ τῇ τῆς ὑπηρεσίας ἀπουσίᾳ, καὶ τῇ τῆς μετανοίας ❝ παρουσίᾳ. ἀνέφικτον γὰρ καὶ ἀμήχανον, δεόμενον τῶν πρὸς τὸ ❝ βιοτεύειν ἀναγκαίων μὴ κατακλᾶσθαι τὴν γνώμην, καὶ ἀσχολίαν ❝ ἄγειν ἀπὸ τῶν κρειττόνων, ὁπωσοῦν καὶ ὁθενοῦν ταῦτα πειρώμενον ❝ ἐκπορίζειν. καὶ πάλιν, πῶς ἄν τις πεινῶντα τρέφοι, καὶ διψῶν- ❝ τα ποτίζοι, καὶ γυμνὸν σκεπάζοι, καὶ ἄστεγον συνάγοι, ἃ τοῖς ❝ μὴ ποιήσασιν ἀπειλεῖ πῦρ, καὶ σκότος τὸ ἐξώτερον; καὶ κατω- ❝ τέρω, ἀποτακτέον οὖν τοῖς ὑπάρχουσι τοῖς βλαβεροῖς, οὐχὶ τοῖς, ❝ ἐὰν ἐπιστήσῃ τὶς τὴν ὀρθὴν χρῆσιν, καὶ συνωφελεῖν δυναμένοις. ❝ ὠφελεῖ δὲ τὰ μετὰ φρονήσεως, καὶ σωφροσύνης, καὶ εὐσεβείας ❝ οἰκονομούμενα. καὶ πάλιν, ὁ μὲν ἔχων κτήματα, καὶ χρυσὸν, ❝ καὶ ἄργυρον, καὶ οἰκίας ὡς θεοῦ δωρεὰς, καὶ τῷ τε διδόντι θεῷ ❝ λειτουργῶν ἀπ' αὐτῶν εἰς ἀνθρώπων σωτηρίαν, καὶ εἰδὼς ὅτι ❝ ταῦτα κέκτηται διὰ τοὺς ἀδελφοὺς μᾶλλον ἢ ἑαυτόν. καὶ κρείττων ❝ ὑπάρχων τῆς κτήσεως αὐτῶν, μὴ δοῦλος ὢν κέκτηται, μηδὲ ἐν τῇ ❝ ψυχῇ ταῦτα περιφέρων, μηδὲ ἐν τούτοις ὁρίζων καὶ περιγράφων ❝ τὴν ἑαυτοῦ ζωὴν, ἀλλά τι καὶ καλὸν ἔργον καὶ θεῖον ἀεὶ διαπονῶν. ❝ κἂν ἀποστερηθῆναι δέῃ ποτὲ τούτων, δυνάμενος ἵλεῳ τῇ γνώμῃ ❝

dorum absentia, & pœnitentiæ præsentia. Impossibile enim est, indigentem rebus vitæ necessariis non animo frangi, nec potiora negligere, conantem quomodocumque & undecumque istas comparare. Atque rursum: *Quomodo quis poterit esurienti cibum dare, sitienti potum, cooperire nudum, tecto carentem recipere, quæ non facientibus ignem minatur & tenebras exteriores?* Et inferius: *Renunciandum ergo illis facultatibus quæ nocent; non illis quæ recto adhibito usu etiam prodesse possunt. Prosunt autem, quæ prudenter & moderate & pie dispensantur.* Ac rursum: *Qui habet possessiones & aurum & argentum & domos, ut Dei munera, Deoque largitori ab illis servit ad hominum salutem, & agnoscit se hæc possidere propter fratres magis quam propter seipsum, quive quæ possidet sibi subjicit, non autem illis servit, neque in animo hæc circumfert, nec istis definit & circumscribit vitam suam, sed etiam bonum aliquod opus & divinum semper operatur: sique carendum aliquando his sit, potest placido animo*

καὶ

„ καὶ ἀπαλλαγὴν αὐτῶν ἐνεγκεῖν ἐξ ἴσου, καθάπερ καὶ τὴν περιου-
„ σίαν, οὗτος ὁ μακαριζόμενος ὑπὸ τοῦ κυρίου, καὶ πτωχὸς τῷ πνεύ-
„ ματι λαλούμενος, κληρονόμος ἕτοιμος οὐρανοῦ βασιλείας, οὐ πλούσιος
„ ζῆσαι μὴ δυνάμενος. καὶ κατωτέρω, οὕτω καὶ ἄπορός τις ἂν
„ καὶ ἄβιος εὑρεθείη ποτ' ἂν μεθύων ταῖς ἐπιθυμίαις, καὶ
„ χρήμασι πλούσιος, νήφων, καὶ πτωχεύων ἡδονῶν, πεπεισμένος,
„ συνετὸς, καθαρὸς, κεκολασμένος. καὶ κατωτέρω, ἀλλ' ὁρᾷς
„ σεαυτὸν ἡττώμενον ὑπ' αὐτῶν καὶ ἀνατρεπόμενον, ἄφες, ῥίψον,
„ μίσησον, ἀπόταξαι, φύγε. κἂν ὁ δεξιός σου ὀφθαλμὸς
„ σκανδαλίζῃ σε, ταχέως ἔκκοψον αὐτόν. αἱρετώτερον ἑτεροφθάλ-
„ μῳ βασιλεία θεοῦ, ἢ ὁλοκλήρῳ τὸ πῦρ. κἂν χεὶρ, κἂν ποὺς,
„ κἂν ἡ ψυχὴ, μίσησον αὐτήν. ἂν γὰρ ἐνταῦθα ἀπόληται
„ ὑπὲρ χριστοῦ, ἐκεῖ ζωογονήσεται. ἀλλ' εἰ δύναταί τις ἐνδοτέρω
„ τῶν ὑπαρχόντων κάμπτειν τῆς ἐξουσίας, καὶ μέτρια φρονεῖν,
„ καὶ σωφρονεῖν, καὶ θεὸν μόνον ζητεῖν, καὶ θεὸν ἀναπνεῖν, καὶ
„ θεῷ συμπολιτεύεσθαι, πτωχὸς οὗτος παρέστηκε ταῖς ἐντολαῖς,
„ ἐλεύθερος, ἀήττητος, ἄνοσος, ἄτρωτος ὑπὸ χρημάτων. εἰδὲ μὴ,

æque ferre & absentiam eorum, sicut & præsentiam; hic est qui beatus prædicatur a Domino, & pauper spiritu appellatur, certus hæres regni cœlestis, non dives vivere nesciens. Atque inferius: *Sic è contrario etiam inops aliquis & egenus deprehendi potest aliquando ebrius concupiscentiis: & dives opibus sobrius, & voluptatum egens, persuasus, prudens, purus, castigatus.* Et inferius: *Sed si vides teipsum depravari & vinci ab eis, & subverti, relinque, abjice, odio prosequere, renuncia, fuge. Atque si oculus tuus dexter scandalizet te, cito erue eum, præoptandum enim lusco regnum Dei quam integro ignis. Item si manus, si pes, si anima, odio prosequere eam. Si enim hic pereat pro Christo, illic vivificabitur. Si vero quis potest intra opum potestatem flectere, & moderate de se sentire, & temperatus esse, & Deum solum quærere, Deumque spirare, & cum Deo versari, pauper iste adsistit præceptis, liber, invictus, sanus, a divitiis illæsus. Sin minus, citius*

θᾶττον κάμηλος διὰ βελόνης εἰσελεύσεται, ἢ ὁ τοιῦτος πλύσιος ἐπὶ " τὴν βασιλείαν τῦ θεῦ παρελεύσεται. "

Ἐντελὴς δὲ καλοκἀγαθίας ἐγκρατὴς, ὁ διαρθρῶν ἐν ὁποιῳῦν πράγματι τὰ προσήκοντα, καὶ πάσαις γραμμαῖς ἐπακριβῶν τὴν θεοειδῆ εἰκόνα τῆς ψυχῆς, καὶ εἰς τῦτο ὅλῳ σθένει διατεινόμενος, ἑαυτῷ προσέχων, ἑαυτῷ ἐπαγρυπνῶν, ὐκ ἀμελῶν δὲ ὔτε φίλων, ὔτε πατρίδος, ἀλλ' ὑπυργῶν κἀκείνοις τὰ δέοντα, καὶ ὁπότε δεήσοι, ὔτε τῶν ὄντων, ὔτε τῦ σώματος, ὔτε τῆς ζωῆς ὁ τῷόντι καλὸς καὶ ἀγαθὸς φείδεται ὑπὲρ τῦ καθήκοντος. διὰ δὲ θεὸν ἐς ἀρετῆς ἐληλακὼς (ὡς ὁ Παῦλος) ἀκρότητα, καὶ ἐν χριςῷ ζῶν, ὀλιγωρήσει καὶ ὅλυ ἑαυτῦ πᾶν εἶδος φιλαυτίας ἀποδυσάμενος, καὶ οἱονεὶ αὐγοειδὲς ὄχημα τῆς ψυχῆς ἀποθέμενος, ἀκράτῳ δὲ τῷ θείῳ ἔρωτι κῦφος ἐποχύμενος. κηδεμονικὴ ἄρα ἡ καλοκἀγαθία, καὶ τῦτο τῦ καιρῦ καλῦντος, θείυ ζήλυ μεςή. καὶ μάρτυς ὁ ζῆλος Ἰησῦ τῦ Ναυῆ, Φινεὲς, καὶ Ἠλιῦ, καὶ ἄλλων συχνῶν, ὧν πρόκεινται τὰ λαμπρὰ παραδείγματα τοῖς ἀνελίττυσι τὰς ἱερὰς γραφὰς, καὶ τὰς βίβλυς

camelus per acum transibit, quam talis dives in regnum Dei intrabit.

Perfectam autem probitatem adeptus est, qui omnibus suis partibus absolvit officia in quocumque negotio, qui omnibus lineis complet divinam animæ imaginem, eoque omnibus viribus contendit, sibi intentus, sibi invigilans; nec tamen amicorum curam relinquens nec patriæ, sed his etiam debita præstans ministeria. Atque ubi opus nec opibus nec corpori nec vitæ parcit vir vere bonus, officii causa: quin etiam propter Deum, ad summum virtutis provectus, (ut Paulus) inque Christo vivens, etiam seipsum totum contemnet, postquam omne genus amoris proprii exuit, & tamquam splendidum animæ vehiculum deposuit, simplici & puro amori divino invehens. Est itaque probitas sedula & officiosa, atque ubi tempus postulat, divini zeli plena. Testis zelus Josuæ, Phinees, Eliæ, & aliorum complurium, quorum illustria prostant exempla evolventibus scripturas sacras, librosque

τῶν

„ τῶν ἁγίων πατέρων. Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων ψαλ. ρμγ΄.
„ τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.
„ καὶ πάλιν, εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν, τὰς ψαλ. νζ΄.
„ χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. τὰ τοῦ Θεοῦ
„ κρίματα ἐκδικεῖν ἀπαραίτητος ἀνάγκη, φησὶν ὁ οὐρανοφάντωρ
„ Βασίλειος, ἵνα μὴ συμπαραπολαύῃ τῆς ὀργῆς τοῦ Θεοῦ ὁ ἐφησυχάζων. καὶ ὁ θεολόγος Γρηγόριος καλοκἀγαθίας ἐραστὴν καὶ προστάτην ὀνομάζει τὸν ἄρχοντα τὸν βοηθὸν ἀρετῆς, καὶ ἀνταγωνιστὴν κακίας. καὶ πολύς ἐστιν εἰς δικαιοσύνην, καὶ κηδεμονίαν, καὶ προστασίαν, ὀτρύνων τοὺς δυναμένους ἀπειλαῖς καὶ φόβῳ, μετὰ ξίφους καὶ τελαμῶνος, ἰδίᾳ τε καὶ κοινῇ εἰρήνην βραβεῦσαι.
„ διὰ τοῦτο ἀξιοῦμεν παρεῖναί, φησι, καὶ βοηθεῖν ἡμῖν ὡς τάχιστα, ἐπισ. κβ΄.
„ καὶ δικάσοντα, καὶ συνηγορήσοντα. καὶ πάλιν, ἀλλ' ὅ, τι ἂν ἐπισ. κ΄.
„ δυνηθῇς τῶν σβεστηρίων ὀργάνων, τοῦτο προσένεγκε, καὶ τοῖς
„ ἄλλοις διακελεύων, ἵνα καὶ τὸ σὸν εὖ ἔχῃ τοῦ κοινοῦ πράττοντος
„ ἄμεινον. καὶ πάλιν, εἰ γένοιτο πολλοὺς τῶν ἡμετέρων τὸ γένος ἐπισ. ἡ΄.
„ τὴν σὴν μιμήσασθαι καλοκἀγαθίαν, πάντα ἡμῖν οἶδ' ὅτι ἕξει

sanctorum Patrum. * *Benedictus Dominus Deus meus, qui docet manus meas ad prælium & digitos meos ad bellum.* Ac rursus: ** *Lætabitur justus cum viderit vindictam: manus suas lavabit in sanguine peccatoris. Dei judicia vindicare, irrecusabilis est necessitas*, inquit ille cœli monstrator Basilius, *ne in eo cessans experiatur iram divinam.* Et Gregorius theologus probitatis amatorem & patronum appellat eum Præfectum qui virtuti opitulatur, hostemque malitiæ: multusque est in adhortandis ad justitiam, curam & defensionem iis qui possunt minis & terrore, gladio ac clypeo, privatim & publice pacem procurare. *Idcirco volumus*, inquit, *adesse & succurrere nobis quamprimum, & judicaturum & defensurum.* Ac rursum: *Sed quæcumque instrumenta extinctoria potes, ea admove, aliisque impera, atque effice, ut Rep. melius habente, tua etiam res meliore sit loco.* Rursumque: *Si eveniat ut plures ex nostra natione imitentur tuam probitatem, omnia,*

Psal. 143. 1.

Psal. 67, 11.

καλῶς

καλῶς τά τε κοινὰ καὶ τὰ ἴδια. παρακαλῶ δὲ, ὥσπερ τὸν « ἔξωθεν πόλεμον τῇ σεαυτοῦ δεξιᾷ καὶ συνέσει καταλύεις γενναίως « ὑπὲρ ἡμῶν ἱστάμενος, οὕτω λῦσον καὶ τὸν ἡμέτερον ὅσα γέ ἐστιν « ἐπὶ σοὶ εἰρηνικὸν γενέσθαι τὸ τέλος τοῖς συνελθοῦσι νῦν ἐπισκό- «
Ἐπισ. μζ. ποις ἀγωνισάμενος. καὶ Ἀλυπίῳ γράφων, σπαράσσει τὴν ἡμε- « τέραν οἰκίαν τὴν παρ' ὑμῖν ὡς πυνθάνομαι βιαίοις ἐφόδοις ὁ καλὸς « Παλλάδιος, ὁ δὲ βοηθήσων οὐδείς. καλὸν οὖν ἐστι σοὶ μάλιστα μὲν « καὶ παρόντος κήδεσθαι τοῦ ἀνδρὸς, πολλῷ δὲ πλέον ἀπόντος, ὡς ἂν « μὴ παντάπασιν οἰχήσεται διαφθαρέντα καὶ διαῤῥυέντα τὰ πράγμα- « τα κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν. «

Ἔστι δὲ καὶ σωφροσύνης ἐραστὴς ὁ καλὸς καὶ ἀγαθὸς, τὴν φθοροποιὸν ἀκολασίαν ὡς ἰοβόλον ὄφιν ἀποφεύγων. πῶς γὰρ μιμήσεται θεὸν συὸς δίκην ταῖς ἀποπλύστοις ἡδοναῖς φυρόμενος; πῶς σχολάσει τῇ εὐχῇ καθηδυπαθῶν, καὶ κατασπαθῶν, καὶ ὅλως τῇ ἰλύϊ προστετηκώς; πῶς ἀσκήσει φρόνησιν ἐν ἑαυτῷ ἄφρων ὤν; πῶς δικαιοσύνης ἀνθέξεται ἀφ' ἑστίας ἀδικεῖν ἀρχόμενος; καταρτρί-

ſat ſcio, nobis recte habebunt, tam publica quam privata. Rogo autem ut, quemadmodum externum bellum tua ipſius dextera & prudentia diſſipas, ſtrenue pro nobis ſtans, ita & noſtrum deleas, quantum in te eſt, contendens ut pacatum habeant finem Epiſcopi qui nunc convenere. Atque
Epiſt. 47. Alypio ſcribens: *Lacerat noſtram domum quæ apud vos eſt, ut audio, violento impetu, bonus ille Palladius, qui autem ſubveniat opemque ferat, eſt nemo. Decet autem te, etiam præſentis quidem rationem habere illius hominis, ſed multo magis abſentis, ne prorſus dilapſa pereant & intereant omnia, magno impedientis defectu.*

Eſt vero & temperantiæ amans vir bonus & probus, peſtiferam intemperantiam ut venenatum angvem fugiens. Quomodo enim Deum imitabitur is qui more porci in fœdis volutatur voluptatibus? Quomodo vacabit precibus, luxurians & deliciis diffluens, lutoque plane affixus? Quomodo exercebit prudentiam qui in ſeipſo eſt inſipiens? Quomodo juſtitiam curabit a Lare injuſta facere inci-

βων

βων τὸ σῶμα, μολύνων τὴν ψυχὴν, ἐπιτέμνων τὴν ἐπίκηρον, ζημιούμενος τὴν αἰώνιον; πῶς δὲ ἀνδρείαν ἀσκήσει ὁ ἐκτεθηλυμένος καὶ ἐκδεδιητημένος, καὶ λημῶν σῶμά τε καὶ ψυχὴν, οὐδ᾽ ἀνανεῦσαι ὅλως δυνάμενος; ἐπιμελήσεται μέντοιγε μετρίως τοῦ σώματος, ὃ ἐνέχυρον ἔλαβε παρὰ θεοῦ, καὶ ὄργανον λειτουργῆσον τῷ τε δεσπόζοντι, καὶ τῷ ὁμοφύλῳ. ἐν ἀγρῷ πόῤῥω ποῦ, φησιν, ὁ θεῖος „Γρηγόριος, τῆς μονῆς διατρίβοντες, κἀκεῖ τοῦ σώματος ἡμῶν ἐπιμε- „λούμενοι. οὐδ᾽ ἀπώσεται εὐθυμίαν σώφρονα τὴν τόνον ἐμποιοῦσαν τῇ „ψυχῇ ἐν τῷ τῆς ἀρετῆς δρόμῳ. Ἥσθην ἐπαινούμενος, φησιν ὁ αὐτὸς „ἅγιος. καὶ πρὸς Ἀστέριον γράφων, τετιμήμεθα παρ᾽ ὑμῶν, „δεδοξάσμεθα, τῆς ἀρχῆς ἀπελαύσαμεν, τῆς φιλανθρωπίας „ἐνεφορήθημεν. καὶ Γρηγορίῳ Νύσσης, οὔτε ὑπερορώμενοι δυσχεραίνομεν, καὶ τιμώμενοι χαίρομεν. τὸ γὰρ στυγνὸν, καὶ κατηφὲς, καὶ σκυθρωπὸν, καὶ αὐχμηρὸν, οὐκ εἰσὶν ἀρετῆς χρώματα, τοῖς τε μετ᾽ ἀνθρώπων διαιτωμένοις ἐπιπολάζοντα, ἀπαντᾷ λίαν

Ἐπιστ. κ΄. Βίκτ.

Ἐπιστ. νέ. Εὐαγρ.

Ἐπιστ. νβ΄.

Ἐπιστ. β΄.

piens, corpus destruens, animam fœdans, abbrevians hanc vitam caducam, amittens æternam? Quomodo fortitudinem exercebit effœminatus, inordinato victu utens, marcens corpore & anima, nec emergere omnino valens? Curabit tamen corpus moderate, quod a Deo accepit ut pignus & instrumentum ad præstandas functiones cum principi ac magistratui tum societati. *Ruri, longe a monasterio*, inquit divus Gregorius, *commorantes, ibique corporis nostri curam agentes.* Neque lætitiam repudiabit moderatam, quæ animum intendit in virtutis stadio. *Gaudeo, me laudari*, idem inquit Sanctus. Et Asterio scribens: *Honore affecti a vobis sumus, glorificati, imperio fruiti, humanitate & clementia satiati.* Et Gregorio Nysseno: *Et contemptum moleste non ferimus, & honore lætamur.* Tristitia enim & mœstitia, & vultus tetricus & squalor, virtutis pigmenta non sunt; atque in consuetudine hominum viventibus inhærentia admodum sunt molesta, tamquam probitatis simulationem olentia, at

Epist. 55. Evagrio.

Epist. 52.

Epist. 2.

ὀχληρὰ ὡς ὑποκρίσεως ὄζοντα. τὸ δὲ κόσμιον, καὶ ἱλαρὸν, καὶ γεγηθὸς, καὶ εὐαπάντητον, καὶ εὐπροσήγορον, καὶ εὐμενὲς, καλοκἀγαθίας εἰσὶ βαφαὶ, φῶς ἐπιςίλβον ταῖς ἀρεταῖς. ταῖς μείζοσι " τῶν ἀρετῶν ἐπεκτείνεσθαι ἀγωνίζε, φησὶν ὁ μέγας Βασίλειος, καὶ " τῶν ἐλαττόνων μὴ ἀμελεῖν, σφάλματος μὴ περιφρόνει κἂν μικρότερον παντὸς κνωδάλε ᾖ. καὶ τὸ μικρὸν γὰρ εἰ παρὰ χορδὴν " χωρήσει, λύει τὸ ἐμμελὲς καὶ ἐναρμόνιον τε βίε.

Ἔςωσαν δὴ κεφάλαιον τε λόγε οἱ λόγοι τε αὐτε θεσπεσίε πατρὸς, ἁρμόττεσι γὰρ παντὶ χριςιανῷ, ὃν εἶναι βέλεται, γνῶσιν " ἔχοντα τῶν θείων γραφῶν, ἀπερίσπαςον, ἀφιλάργυρον, ἀπράγ- " μονα, ἡσύχιον, θεοφιλῆ, φιλόπτωχον, ἀόργητον, ἀμνησίκακον, " πολὺν εἰς οἰκοδομὴν τῶν ἐγγιζόντων αὐτῷ, ἀκενόδοξον, ἀνυπερήφανον, " ἀκολάκευτον, ἀπερίτρεπτον, μηδὲν προτιμῶντα τε θεε. "

Ἀποταξάμενος δὲ ὁ καλὸς κἀγαθὸς τῷ κόσμῳ, ἀποδύσεται καὶ τὴν περὶ τὸν πλετον ἐπιθυμίαν, καὶ τὸν ἐνδότατον τῆς

modeſtia, & lætitia & hilaritas, & comitas, & affabilitas, & benignitas, probitatis ſunt tincturæ, lux reſplendens in virtutibus. *Majoribus virtutibus contendere nitere,* inquit magnus Baſilius, *nec tamen minores negligito: vitium noli contemnere etiamſi quolibet inſecto ſit minus.* Nam & parvum illud, chorda aberrans, diſſolvit concinnitatem & harmoniam vitæ.

Summa autem ſermonis, ſint verba ejuſdem Patris ſanctiſſimi, conveniunt enim omni Chriſtiano, quem vult eſſe, *Gnarum divinarum ſcripturarum, indiſtrictum, ab avaritia alienum, incurioſum, tranquillum, Deo devotum, pauperes amantem, non iracundum, oblivioſum injuriæ, multum ædificantem appropinquantes ei, inanis gloriæ contemptorem, ſine ſuperbia, ab adulatione averſum, inconcuſſum, nihil anteferentem Deo.*

Renuncians autem vir bonus & probus mundo, exuet cum cupiditate divitiarum etiam interiorem amoris proprii tunicam, ex-

φιλαυ-

φιλαυτίας χιτωνίσκον, καὶ ἀσκήσει ἐν πᾶσι τὸ νηφάλιον, τὴν δὲ πρὸς θεὸν νηφάλιον μέθην ἐνστερνίσεται, λήθην μὲν τῶν κακῶν ἕξει, τὴν δὲ τῶν καλῶν μνήμην περιθάλψει. μετὰ τῆς πολυκεφάλου τῶν παθῶν ὕδρας μονομαχήσει θεοῦ συνεφαπτομένου, καὶ τὰ τῆς νίκης περαίνοντος. τὴν ἐν ταπεινώσει λανθάνουσαν ἀλαζονείαν τὸ μέγα θηρίον πατήσει, καὶ τῷ πυρὶ τῆς ἐν ἁπλότητι ἀγάπης * τὴν κεφαλὴν αὐτῆς συνθλάσει. γνώσει καὶ θεωρίᾳ ἑαυτὸν ἐπιδώσει, ἀλλὰ τὸ περίεργον καὶ τὴν ἐν ὕψει πτῶσιν δεδιτ-
,, τόμενος, τοῦ μὴ ὀρθῶς γινώσκειν τὸ ἀγνοεῖν αἱρήσεται. καὶ ἔθετο ψαλ. ιζ.
,, σκότος ἀποκρυφὴν αὐτοῦ. οὐκοῦν τὰ πτερὰ τοῦ νοὸς χαλάσει, ἔν
,, τε τῇ καρδίᾳ τὸν θεὸν ζητήσει, ἀσφαλεστέρα γὰρ ἡ τῆς καρδίας
,, σοφία. ὁ θεὸς τῆς καρδίας μου, φησὶν ὁ Δαβίδ, καὶ ὁ Σολομῶν, ψαλ. οβ.
,, υἱὲ ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν. παροι. κεφ. κγ.
,, καὶ πάλιν, δός μοι υἱὲ σὴν καρδίαν. ἐκείνην γὰρ θέλει ὁ θεὸς,
,, ἐκείνην ἐμπίπλησι τοῦ θείου ἔρωτος, ἐκείνη ἐν τῷ φαεινοτάτῳ γνόφῳ

ercebitque in omnibus ſobrietatem, divini autem amoris ebrietatem pectore concipiet: malorum quidem obliviſcetur, bonorum autem memoriam fovebit: cum multicipiti affectuum Hydra depugnabit, Deo adjuvante, & victoriam perficiente: latitantem in humiliatione arrogantiam, magnam illam beluam, calcabit, atque igne charitatis in ſimplicitate, caput ejus conteret. Scientiæ & contemplationi erit deditus, ſed curioſitatem, neve ex alto ruat, formidans, cognitione falſa potiorem ducet ignorantiam. *Et poſuit tenebras in latibulum ſuum.* Pſ. 17, 12. Igitur mentis alas laxabit, inque corde Deum quæret; certior enim eſt cordis ſapientia. *Deus cordis mei*, inquit David. Et Salomon: Pſ. 72, 26. *Fili mi, ſi ſapiens fuerit cor tuum, exhilarabis etiam cor meum.* item: Prov. 23, 15. 16. *Præbe fili mi cor tuum mihi.* Cor enim vult Deus, illud implet divino amore, illud in lucidisſimo

διαιτωμένη, καὶ ἐν τῇ ἀγάπῃ νήχουσα, ἀπὸ πιότητος οἴκου θεοῦ ἐμπλησθήσεται, καὶ ἀπὸ τοῦ χειμάῤῥου τῆς τρυφῆς αὐτοῦ ποτισθήσεται, ψαλ. ιϛ'. χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

nimbo degens, & in charitate natans, pinguedine domus Dei implebitur, & torrente deliciarum ejus potionabitur. * *Satiabor cum apparuerit gloria tua.*

* Psal. 16, 15.

EXCUDIT

JOH. GEORG. SCHNIEBES.

ERRA-

❧):(❧

ERRATA.

Pag. 1. l. 3. βιβαλυ l. βιβλίυ.
- l. 4. poſt περὶ adde τῶν.
- l. 6. ὃ l. ὁ.
- 2. l. 12. ἐνεργηαν l. ἐνέργηαν.
- 3. l. 12. θήρα l. θήρᾳ.
- 4. l. 6. Δατίνων l. Λατίνων.
  l. 15. σψόδρα l. σφόδρα.
  l. 17. λεωφρόρυ l. λεωφόρυ.
- 5. l. 2. φροντίζοντα l. φροντίζοντα.
- 6. l. 7. poſt vocem καλῦ adde: καὶ ἀρετῆς
  l. 10. διιθύνει l. διϊθύνει.
- 7. l. 1. ὢν l. ὧν.
- 8. l. 16. ὢλλυ l. ἄλλυ.
- 9. l. 6. πρὰτ]οντος l. πράττοντος.
  l. 8. κανωνίαν l. κοινωνίαν.
  l. 10. ἔκαςος l. ἕκαςος.
- 10. l. 3. ταπηνύσεως l. ταπεινώσεως.
  l. 6. poſt vocem πρόκειται add. τοῖς.
  l. 9. poſt vocem βίῳ add. τῷ.
  l. 14. ἀποθνήκτομεν l. ἀποθνήσκομεν.
- 11. l. 10. ἐυφραθήτω l. ἐυφρανθήτω.
  l. 12. διισχυρίζονται l. διϊσχυρίζονται.
- 12. l. 5. κατασφρὰττων l. κατασφάττων.
- 13. l. 3. poſt vocem ὕλης add. τῆς.
  l. 5. ὑπωπιάζων l. ὑποπιάζων.
  l. 14. poſt vocem θεωρίας, add. καὶ ἑνώσεως.
- 14. l. 15. καί leg. καὶ.
- 15. l. 8. poſt vocem ἱεροῖς adde ναοῖς.
  l. 11. poſt vocem λαῦ adde ἀυτῦ.
- 16. l. 4. ςαθηρόσητος l. ςαθηρότητος.
  l. 7. ἀινίττόμενος l. ἀινιττόμενος.
- 17. l. 10. καὶ deleatur.
- 19. l. 5. ὑραιὸν l. ὑρανὸν.
- 21. l. 6. ἀιθρωπίνης l. ἀνθρωπίνης.
- 22. l. ult. ἐπιγράφται l. ἐπιγράφεται.
- 23. l. 9. θέλημάσυ l. θέλημά συ.

Pag. 24. l. 4. Σαλομὼν l. Σολομών.
  l. 12. poſt vocem ἀγάπης add. καὶ χαρᾶς.
- 26. l. 15. ἔμπροθεν l. ἔμπροσθεν.
- 27. l. 5. δισηδαιμονῦσα l. δεισιδαιμονῦσα.
  l. 9. φησί l. φησὶ.
- 28. l. 12. τιμῶσι με l. τιμῶσί με.
- 29. l. 15. ἡμᾶς l. ἡμᾶς.
- 30. l. 4. ἀυτὸν l. ἀυτόν.
  l. 8. γὰρ l. γάρ.
  ibid. Σολολὼν l. Σολομὼν.
  l. 11. γὰρ l. γάρ.
  l. 15. ἄτικρυς l. ἄντικρυς.
- 31. l. 15. μηδὲν l. μηδέν.
- 32. l. 2. ἀπεκαρσέρησαν l. ἀπεκαρτέρησαν.
  l. 3. ὁλοκάτωμα l. ὁλοκάυτωμα.
  l. 8. ἀθρώπυ l. ἀνθρώπυ.
  l. 13. Μηδὲν l. Μηδέν.
- 33. l. 5. ἰθύνομενος l. ἰθυνόμενος.
- 34. l. 5. ἐδομυχύντων l. ἐνδομυχύντων.
  l. 12. ἐπιπάττοντι l. ἐπιτάττοντι.
  l. 15. διαγνώσκει l. διαγινώσκει.
  ibid. τρέπον l. πρέπον.
  l. 18. κοσμίοτητα l. κοσμιότητα.
- 35. l. 13. ἀθρωπίνης l. ἀνθρωπίνης.
  l. 15. ἑκάςῳ l. ἑκάςῳ.
  l. 16. γενναίοτητος l. γενναιότητος.
p. 38. l. 2. διακαιοσύνη l. δικαιοσύνη.
  l. 7. poſt vocem σιωπῇ add. comma
- 41. l. 7. ἁμαρτῖας l. ἁμαρτίας.
- 42. l. 5. ἐπιδεξίοτητα l. ἐπιδεξιότητα.
  l. 14. πονηρευμένυς l. πονηρευομένυς.
- 43. l. 8. ἀπερίεργῳ l. ἀπεριέργῳ.
- 44. l. 2. ἐπιβυμεύειν l. ἐπιβυλεύειν.
  l. 3. ἒιη l. ἔιη.

Pag. 44.

Pag. 46. l. 3. συρύμενα leg. συρόμενα.
l. 15. ἀκέραιον l. ἀκέραιον.
- 48. l. 3. προιμίοις l. προοιμίοις.
l. 9. ἀδρεία l. ἀνδρεία.
- 49. l. 10. ἀνχένα l. αὐχένα.
- 50. l. 11. post vocem χώρῃ add. καὶ τῇ ὥρῃ.
l. 16. ἡϊκῆς l. ἡρωϊκῆς.
- 51. l. 2. τὴ l. τὸ.
l. 5. παρεμβολῆ l. παρεμβολῇ.
l. 8. ἐπνέγκαι l. ἐπενέγκαι.
l. 14. κάι l. καὶ.
- 52. l. 12. πορεύομενος l. πορευόμενος.
- 54. l. 3. ἀδρεάν l. ἀνδρείαν.
l. 12. post vocem ἐν adde: τῷ.
l. 17. ἐναβρύνομενοι l. ἐναβρυνόμενοι.
- 55. l. 10. ἀνεῤῥάγησαν l. ἀπεῤῥάγησαν.
l. 16. ὐδὲν l. οὐδὲν.
l. 17. ἀδρεία l. ἀνδρεία.
- 66. l. 8. ὁμλῶν l. ὁμιλῶν.
- 68. l. 2. ἴστρῳ l. οἴστρῳ.
- 69. l. 6. ἄνεσεως l. ἀνέσεως.
- 71. l. 9. ἀνάπλης l. ἀνάπλης.
l. 13. διαῤῥέοντα l. διαῤῥέοντα.
- 72. l. 14. ἐπήνθει l. ἐπήνθη.
- 76. l. 2. ἠπιότητος l. ἠπιότητος.
- 80. l. 6. χπησάμενος l. χρησάμενος.
- 81. l. 5. νηστέως l. νηστείας.
- 86. l. 7. ἕνικα l. ἕνεκα.
- 87. l. 8. προσίσμενος l. προσιέμενος.

Pag. 90. l. 11. ματὰ l. μετὰ.
l. 16. τῳ l. τῷ.
- 91. l. 7. ἡδολῶν l. ἡδονῶν.
- 93. l. 16. ἐμμείνεις l. ἐμμείνοις.
- 94. l. 16. ματὰ l. μετὰ.
- 96. l. 15. ἀτιπάλυς l. ἀντιπάλυς.
- 97. l. 17. βέλημυ l. βέλη μυ.
- 98. l. 5. ἐπανακαύομενοι l. ἐπαναπαυό-μενοι.
- 99. l. 1. ἰακωβ l. ἰακώβ.
ibid. ἐμώ l. ἐγώ.
- 100. l. 3. πραγματεύομενοι l. πραγμα-τευόμενοι.
- 101. l. 5. τυ l. τῦ.
- 102. l. 5. ταῖς l. τοῖς.
- 104. l. 5. post vocem σκάφην adde: σκάφην.
- 105. l. 6. ἀδικύσομεν l. ἀδικήσομεν.
l. 14. μνηστεύομενος l. μνηστευόμενος.
- 107. l. 12. χαλκεύοντων l. χαλκευόντων.
- 108. l. 13. τατὰ l. κατὰ.
- 110. l. 3. πανταχῦ l. πανταχῦ.
l. 7. σπένδηται l. σπένδεται.
- 112. l. 9. συμβολευόμενος l. συμβυλευό-μενος.
- 114. l. 16. κοπιδῇ l. κομιδῇ.
- 118. l. 17. ὑποταγῆ l. ὑποταγῇ.
- 120. l. 7. ἄγνονιαν l. ἄγνοιαν.
- 136. l. 7. προσένεγκασιν l. προσενέγκωσιν.

):(o):(





